ρημένα, καὶ εἰς σύστασιν τούτοις ἠθῶν ἀγαγεῖν. Ἀνάγεται γὰρ ὁ ἐπίλογος, ὥσπερ καὶ τὸ προοίμιον, ἐπὶ τὸ παθητικὸν τοῦ λόγου εἶδος. Πειρατέον οὖν ἐν ἐπιλόγοις τοὺς ἀκροατὰς διατίθεσθαι πρὸς μὲν ἡμᾶς αὐτοὺς, εὔνους καὶ συμπαθεῖς. πρὸς δὲ τὸν ἀντίδικον, τὴν ἐναντίαν αὐτοῖς ἐμποιῆσαι διάθεσιν. μνήμονας προσέτι τῶν εἰρημένων καταστήσομεν. ἃ καὶ αὐξήσομέν πως τοῖς τελικοῖς κεφαλαίοις. περὶ ὧν ἀνωτέρω ἀποχρώντως εἴρηται:

Τέλος καὶ τῷ θεῷ ἡμῶν χάρις.

οἱ λόγοι τε καὶ πράξεις, πατρὶς τ' ἔτι καὶ πρόγονοι, καὶ ἄλλα ὅσα ἔξωθεν ἑκάστῳ ἡ τύχη ταμιεύεται. ἢ ἐξ ἱστορίας παραλαβεῖν, ἢ παρὰ τοῦ ἄλλου καταμαθεῖν:

Ἐκθέντες τοιγαροῦν ἐπὶ τῶν ἐγκωμίων τὸ προοίμιον τὰ μάλιστα κατὰ τὴν ἀρετὴν διαφέροντα τῶν ἐκείνου προαιρέσεων, ἢ λόγων, ἢ πράξεων, καθ' ἕνα ἐπινέγκομεν, καὶ τεχνικωτέρᾳ τινὶ τῶν λόγων ἀρροίᾳ ἐκφράσαντες μεγαλαυνόμεν τε καὶ ἀποσεμνυνόμεθα ταῖς αὐξήσεσι. Λαμβάνονται δὲ αὗται κατά τε ποσὸν, καὶ ποιόν. καὶ κατὰ μὲν τὸ ποσὸν τηνικαῦτα αὐξήσομεν τὸ προτεθὲν, ἐπειδὰν πολλάκις τοῦτο δείξωμεν πεπραχότα τὸν ἐπαινούμενον. κατὰ δὲ τὸ ποιὸν, ἐπειδὰν σαφὲς παραστήσωμεν τοῖς ἀκροαταῖς, ὡς ἑκὼν τὰ τοιαῦτα, ἢ προείλετο, ἢ εἶπεν, ἢ ἔπραξεν. ὅτι μόνος, ἢ πρῶτος τῶν ἄλλων, ἢ ὡς οὐδεὶς ἕτερος, ἢ ὡς πάνυ ὀλίγοι. δεινοὶ δὲ πρὸς τὴν τοιαύτην αὔξησιν οἱ ἐκ τῶν παραστατικῶν τόποι. προσποριεῖται προσέτι τοῖς ἐγκωμίοις ἡ αὔξησις, ἔκ τε τῶν ἐναντίων, καὶ συγκρίσεων. τὰ δὲ ἔξω, ὅσα δηλαδὴ ἐκ τύχης, ἐγκωμίων μὲν καθ' ἑαυτὰ οὐ τετύχηκε. παραλαμβάνεται μέντοι τὰ πολλὰ εἰς πίστωσιν τῶν εἰρημένων, οἷά που καὶ Ἀριστοτέλους ἀνωτέρω ἀκηκόατε. Ταῦτα ὑμῖν καὶ ἐπὶ ψόγου (εἴ ποτε παρεμπέσοι πρόφασις) ἀποχρήσει. ἐκ γὰρ τῶν ἐναντίων τὰ ἐναντία θηράσιμα. ἡ μέντοι τῶν προτερημάτων κατὰ τὴν ἔκφρασιν τάξις, τὴν νεστόριον ἐκείνην παρ' Ὁμήρῳ μιμείσθω. τὰ μὲν γὰρ ὑπερέχοντα τῶν ἄλλων πρῶτα ἔστωσαν, καὶ τελευταῖα. ὅσα δὲ μειονεκτοῦντα, τὴν μέσην τετάχθω χώραν:

ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

Ὁ μὲν ἐπίλογος φωνή, οἱονεὶ ἕτερον ἐφ' ἑτέρῳ λόγον δηλοῖ. Ἔστι δ' ἀνακεφαλαίωσις τῶν εἰρημένων εἴτ' οὖν ἀπαρίθμησις σύντομος. Ἔργον δὲ αὐτοῦ, ἀναμνῆσαι τοὺς ἀκροατὰς ἐπιτόμως τε καὶ τεταγμένως τὰ διὰ πολλῶν εἰρημένα,

στάσις, εἴγε καὶ καλὸν αὐτὸ ἀποφήνωμεν, δίκαιον δηλαδὴ καὶ κατὰ νόμον, καὶ παρ' οὐδενὸς κωλυόμενον:

Εἶχεν ἂν ἀποχρώντως τὸ συνταγμάτιον ἡμῖν ἐνταῦθα, εἴγε κατὰ τὰ ταυτὰ τοῖς συμβουλεύουσι καὶ δικάζουσιν ἦσαν. καὶ τοῖς ἐπιδεικνυμένοις αἵ τε πίστεις, καὶ αἱ περιστάσεις. Ἐπεὶ δὲ ἀφωρισμένως τῶν ἄλλων γενῶν τοῦ πολιτικοῦ λόγου, τὸ ἐπιδεικτικὸν ἰδίαν ἔλαχε τὴν θεωρίαν. ἐκεῖνα μὲν γὰρ ἀμφισβητουμένας περιτίθησι τὰς περιστάσεις, καὶ ἀποδείξεσι τὰ πολλὰ καὶ παραδείγμασιν ἐμφιλοχωρεῖν, δι' ὧν ταύτας πιθανὰς ἀπεργάζεται. Τὸ δὲ ἐπιδεικτικὸν ὁμολογουμένας μὲν λαμβάνει τὰς περιστάσεις, διὰ δὲ τῆς αὐξήσεως, καὶ οὐ δι' ἀποδείξεων μέγεθος ταύταις καὶ κάλλος περιτίθησι. διὸ δὴ οὐκ ἄπο σκοποῦ ᾠήθημεν εἶναι, ὀλιγάττα περὶ αὐτοῦ ἰδιαζόντως διαλαβεῖν, καὶ ὅσα ἐς μόνην ἀνήκουσι τὴν τῶν Ἀριστοτελικῶν ῥημάτων ἀνάπτυξιν. τῷ δὲ πλειόνων περὶ τούτου εἰδέναι γλιχομένῳ, ἔστι ῥᾳδίως ἀναλέξασθαι, τοῖς τε τῷ Ἀφθονίῳ λεγομένοις, καὶ τοῖς περὶ ἐκείνων σχολαστικοῖς ἐντυχόντι:

Τὸ μὲν οὖν ἐγκώμιον ἐπαίνου διαφέρειν τινὲς ἡγοῦνται, οὐ τῷ μεγέθει καὶ τῷ πλήθει. τὸν μὲν γὰρ ἔπαινον σύντομόν τινα καὶ ἁπλοῦν εἶναι ἔφησαν, καὶ μίαν ἀρετῆς μαρτυρίαν. τὸ δὲ ἐγκώμιον μέγεθός τι ἔχειν, καὶ ἐγκατασκευαῖς ἐκφερόμενον, πατρίδα τε καὶ γένους ἐπιφάνειαν, παιδείαν, καὶ ἀναστροφὴν, καὶ πράξεις, καὶ θάνατον πολλάκις συμπεριλαμβάνον. Ὁ δὲ Ἀριστοτέλης ἀνωτέρω τὸν ἔπαινον, λόγον ἐμφανίζοντα μέγεθος ἀρετῆς ὡρίσατο. Τὸ δὲ ἐγκώμιον ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ ἔφη εἶναι προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησιν, καὶ μὴ προσόντων συνοικείωσιν. ὧν ἁπάντων ὁ ψόγος ἐστὶ ταπείνωσις. οἰκειοῦται γὰρ ὡς αὐτὸς οὗτος φησί, τὸν μὲν ἔπαινον, τῶν ἀρετῶν. τὸ δὲ ἐγκώμιον, τῶν πράξεων. Δεῖ οὖν τὸν ἐγκωμιάζοντα πρὸ πάντων εἰδέναι, ποῖος ἐστὶν ὁ ἐγκωμιαζόμενος, τίνες αἱ προαιρέσεις ἐκείνου,

οἱ

ἐπιβούλοις διακειμένοις, ἀλλ᾽ ἐκεῖνος δείξειε περὶ Θετταλῶν. Παίονας δὲ καὶ Ἰλλυρίους, οἷς ἐκεῖνος τὰ μάλιστα ἐνεμβρύνετο, ἐλευθερίᾳ ζῆν ἔφη, καὶ ἀήθεις φέρειν τὴν ἐκείνου ὠμότητα· τοῦτ᾽ αὐτὸ καὶ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ, καὶ Θουκυδίδης ἐν ταῖς σικελικαῖς δημηγορίαις κατεσκεύασεν:

ΠΕΡΙ ΤΟΥ ΚΑΛΟΥ.

Τὸ καλὸν ὅτι τὸ δι᾽ αὑτὸ αἱρετὸν ὄν, ἐπαινετόν ἐστιν, ἢ ὅπερ ἂν ἡδὺ, ἢ ὅτι ἀγαθὸν, καὶ ὑμεῖς οἴδατε ἀνωτέρω ἐπιτετυχηκότες τοῖς αὐτοῖς τοῦ Ἀριστοτέλους ῥήμασι. Συνίσταται δὲ τὸ καλὸν καὶ ἐξ αὐτῆς τῆς τοῦ ὑποκειμένου πράγματος φύσεως, καὶ ἀπὸ τῆς τῶν πολλῶν κρίσεως. ὅτι δηλαδὴ παρὰ πᾶσιν ἐπαινεῖται τὸ τοιοῦτον, ἢ γοῦν παρὰ τοῖς σοφωτέροις, καὶ τοῖς ἤθεσι βελτίωσι. καὶ ὅτι φιλεῖται, καὶ διὰ τιμῆς ἄγεται. καλὰ δὲ καὶ ὅσα ἑκάστῳ ἐν τῷ βίῳ προσήκουσιν, οἷαι εἰσὶν αἱ ἀρεταὶ, καὶ ὅσαι εἰς ἐκείνας ἢ ὡς σημεῖα, ἢ ὡς ἔργα ἀνήκουσιν. εἰ οὖν τοιοῦτον τὸ προτεθὲν δείξομεν, ἀποχρώντως ἐσόμεθα κατεσκευακότες τὸ καλόν:

ΠΕΡΙ ἩΔΕΩΝ.

Ἡδέα δὲ ὁ Ἀριστοτέλης ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ εἴρηκεν ἐκεῖνα, ὅσα χαρὰν ἀπεργάζεται. ἐν δὲ τῷ πρώτῳ τῷ πρὸς Θεοδέκτην ὑποθέμενος πρῶτον τὴν ἡδονὴν κίνησιν εἶναι τῆς ψυχῆς καὶ ἀθρόαν κατάστασιν καὶ αἰσθητὴν ,, εἰς τὴν ὑπάρχουσαν φύσιν, ὑπήνεγκε λέγων, Ἡδὺ εἶναι τὸ τῆς ,, αὐτῆς ἡδονῆς ποιητικὸν, οὗ τὸ ἐναντίον ἐστὶ λυπηρόν. Κατασκευάσαις δ᾽ ἂν τὸ ἡδὺ, μάλιστα ἐκ τῆς τῶν ἡδονῶν ἀπολαύσεως. ὧν δύο εἰσὶ γένη. τὸ μὲν εἰς τὰς αἰσθήσεις ἀνῆκον. τὸ δὲ κατὰ διάνοιαν. ὅπερ διαγράψαις μάλιστα τῷ λόγῳ πρὸς τοὺς ἀκροατὰς, καὶ οἱονεὶ παραστήσαις ἐκείνων τῇ φαντασίᾳ, συγκρίναις τε πρὸς ἄλληλα, καὶ ἐκ τῶν ἐναντίων τῶν λυπηρῶν δηλαδὴ ἐμπεδώσαις. Ἀκριβὴς δὲ ἔσται ἡ τοῦ ἡδέος σύ-

στασις,

χρῶνται παρὰ Θουκυδίδῃ. Καὶ σκέψασθαι τῆς εὐπραξίας σπανιώτερα καὶ τὰ ἑξῆς. Κατασκευάζεται δὲ παρὰ ταῦτα τὸ συμφέρον, ἀπὸ τοῦ χρόνου, εἰ δείξωμεν οὐχ ὅπως ἐπὶ τοῦ παρόντος, ἀλλὰ καὶ εἰς τοὔπιον συνοῖσον τοῖς ἐπαΐουσι. καὶ προσέτι ἐκ παραδειγμάτων. οἷς μάλα πολλοῖς ἐντεύξεσθε παρά τε Δημοσθένει, καὶ τοῖς λοιποῖς Ῥήτορσι :

ΠΕΡΙ ΤΟΥ ΣΥΝΕΤΟΥ ΚΑΙ Ῥᾳδίου.

Ἐπεὶ δὲ ἕκαστος ἕνεκά τινος ἐργάζεται, καὶ οὐδεὶς τοῖς ἀδυνάτοις ἐπιχειρήσειεν, εἰκότως εἰς Ῥήτορας καὶ ὁ περὶ δυνατοῦ καὶ ἀδυνάτου λόγος ἀνήκει. Δυνατὸν οὖν καὶ ῥᾴδιον κατασκευάσομεν τὸ προτεθὲν, Πρῶτον μὲν ἐξ αὐτῆς τῆς τοῦ ζητουμένου φύσεως, εἴγε πάντῃ ἁλωτὸν, καὶ πόνῳ μάλα βραχεῖ, καὶ δαπάνῃ, καὶ χρόνῳ ἐπορεύσιμον. Εἶτα ἔκ τε τῆς ἡμετέρας ἰσχύος, καὶ τῆς τῶν ἀντικειμένων ἀσθενείας, ἰσχυροὺς δὲ ἡμᾶς αὐτοὺς δείξομεν, ἔκ τε τῆς φυλακῆς τῆς πόλεως, τῶν τε ἐξαγομένων καὶ εἰσαγομένων ἐν αὐτῇ. καὶ προσέτι ἐξ εὐπορίας χρημάτων, φίλων, συμμάχων, καὶ ἀνδρῶν τὰ πολεμικὰ μάλιστα ἠσκημένων. κατὰ ταυτὰ καὶ ἐκ τῶν ἐναντίων. τὰ μὲν ἡμέτερα δηλαδὴ φέροντες, τὰ δὲ τῶν ἐναντίων ἐλαττοῦντές τε καὶ κακίζοντες. σκεπτέον δὲ καὶ ὡς ἂν πρὸς ἀλλήλους ἔχωσιν, οἵ τε σύμμαχοι καὶ πολῖται. ἐκ γὰρ τῆς τούτων συμπνοίας τε καὶ συμψυχίας τὸ δυνατὸν. μάλιστα κατασκευάζεται τῆς πόλεως, ὡς καὶ τοὐναντίον ἐκ τῆς στάσεως καὶ διχονοίας τῶν τοιούτων. οἷόν τι ἐστὶ τὸ δημοσθενικὸν ἐκεῖνο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. ἔνθα τὴν τοῦ Φιλίππου δύναμιν ὡς ἀκαταμάχητον δεδιότας τοὺς Ἀθηναίους, ὁ Ῥήτωρ ἀναθαῤῥύνει, καὶ πρὸς τὸν κατ᾽ ἐκείνου πόλεμον ἀνεγείρει. διελὼν γὰρ καὶ κατακερματίσας πρὸς μέρος τὸ ἐκείνου δυνατὸν, διέλυσεν. ἄπιστον μὲν ἐκεῖνον δεικνὺς τοῖς συμμάχοις, τοὺς δὲ τῶν πραγμάτων ἐφεστηκότας, σκαιοὺς τὰς γνώμας καὶ

ἐπι-

Ἀπὸ δὲ τοῦ ἐνδόξου ἐμπίπτουσι παρ' αὐτῷ τούτῳ ὁ νόμος ἐν τῷ κατὰ Μειδίου. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι τοῦ νόμου τῆς φιλανθρωπίας, ὡς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ; εἰ οὖν πρὸς θεοῦ, καὶ τὰ λοιπά. εἶτα παρακαλῶν ἐπιφέρει. Τὸν τοίνυν οὐ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῦντα νόμον, ἀλλὰ καὶ παρὰ τοῖς Βαρβάροις, οὐ δόξαντ' ἂν ἔχειν σκοπεῖσθαι παραβάς, καὶ τὰ ἑξῆς: Ἀπὸ δὲ τοῦ χρόνου. Οὐ γὰρ χθὲς ἢ πρώην ὁ παρὼν ἔτεσι γέγραπται νόμος. ἀλλὰ μακρᾷ καὶ πολυετεῖ παρόδῳ τοῦ χρόνου, καὶ παρὰ πολλῶν καὶ σοφωτάτων ἀνδρῶν τυγχάνει βεβαιωθείς. καὶ οὐκ ἄν τις τὰ νῦν εἴποι αὐτὸν μὴ καλῶς ἐσχηκέναι: Ἀπὸ δὲ τῆς ποιότητος καὶ τῆς διανοίας τοῦ γράψαντος συνίστησιν ἐν τῷ κατὰ Δημοκράτους. Εἰπέ μοι τί δεινότατον πάντες ἂν ἀκούσαντες φήσαιτε, καὶ τί ἂν μάλιστα ἀποδέξαισθε; καὶ τὰ λοιπά:

ΠΕΡΙ ΤΟΥ ΣΥΜΦΕΡΟΝΤΟΣ.

Τὸ μὲν συμφέρον ὁ Ἀριστοτέλης ἀνωτέρω ὑπὸ τὸ ἀγαθὸν ἔταξεν. Ἔστι δὲ κυρίως συμφέρον τὸ ἀγαθοῦ τινος ποριστικόν. Τοῦτο δὲ τετραχῶς δυνατὸν γενέσθαι. ἢ διὰ τῆς φυλακῆς τῶν προσόντων. ἢ διὰ τῆς προσπορίσεως τῶν μὴ προσόντων ἀγαθῶν. ἢ γοῦν τῶν ἐναντίων ἐστὶ κωλυτικόν. καὶ τοῦτο διχῶς. ἢ διὰ τούτων ἐκκλίνομεν τὰ ἐπικίνδυνα τῶν βλαβερῶν. ἢ ὅτι τὰ προσδοκώμενα διαφεύγομεν: Κατασκευάζεται δὲ μάλιστα τὸ συμφέρον ἀπὸ τῶν ἐμβάσεων, ἐπειδὰν δή που δείξωμεν τὸ ἐκβησόμενον ἡμῖν τε συνοῖσον, τὸ δὲ ἐναντίον τούτου ζημίαν ἡμῖν προξενῆσον ἐκ τῆς τυχούσης. ὅπερ ὁ Ῥήτωρ ἐφιλοτεχνήσατο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. ἔνθα δείκνυσιν ἡλίκα γε εἰσὶ τὰ διάφορα, τὸν πόλεμον ἐπὶ τῆς Ἀττικῆς ἢ Θράκης συγκροτηθῆναι. Εἰ δὲ πρὸς τούτῳ καὶ τὸ ἡμῖν συνοῖσον, καὶ τοῖς ἐχθροῖς ἀνιαρὸν καὶ ἐπιζήμιον δείξομεν, μᾶλλον ἐσόμεθα τοὺς ἀκροατὰς εἰς πειθὼ παρελκύσαντες. τοιοῦτον δὲ ἐστὶν, ὅπερ οἱ τῶν Κερκυραίων πρέσβεις κέ-

χρηνται

ἀστυγείτονες. ἀλλὰ καὶ εὐεργέται εἰ οὕτω τύχῃ. ¶ Ἀπὸ δὲ τοῦ πράγματος) ὅτι ἴσον ἢ κατ' ἀξίαν καὶ τοῖς πᾶσιν, ἢ γοῦν τοῖς δικαιοτέροις τοιοῦτον ὑπειλημμένον. οἷον ἡγοῦ δίκαιον, ὥσπερ τῆς οὐσίας οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν: ¶ Ἀπὸ δὲ τοῦ ὁμοίου) ὥσπερ δίκαιον νομίζομεν τοῖς γονεῦσι πείθεσθαι, τὸν αὐτὸν τρόπον προσήκει μιμεῖσθαι τοὺς υἱοὺς τὰς τῶν πατέρων πράξεις: ¶ Ἐκ τοῦ ἐναντίου) ὥσπερ ἐν εἰρήνης καιρῷ ἡσυχίαν ἄγειν τοὺς στρατιώτας καὶ εἰς ἡδονὰς ἀνεῖσθαι δίκαιον ὑπείληπται, οὕτως ἐν καιρῷ πολέμου ἐνεργοὺς εἶναι, καὶ ἡδονῶν ἀπέχεσθαι: ¶ Ἀπὸ τοῦ ἐνδόξου) οὐδεὶς τῶν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι εὕρηται, ὃς δίκαιον οὐκ ἂν ἔκρινε τοῖς εὐεργέταις χάριν ἀποδιδόναι. Εἰ δέ ποτε ἀνασκευάσαι τῷ δικαίῳ βουλοίμεθα, τοῖς ἐναντίοις τῶν εἰρημένων χρησόμεθα:

ΠΕΡΙ ΤΟΥ ΝΟΜΙΜΟΥ.

Ἐπειδὴ δὲ νόμος ἐστὶν ὁμολόγημα πόλεως κοινὸν διὰ γραμμάτων προστάττον, πῶς χρὴ πράττειν ἕκαστα τῷ φιλοσόφῳ ἄριστα· νόμιμον ἂν εἴη πᾶν τὸ κατὰ νόμον πραττόμενον. ὑποβέβηκε δὲ τῷ δικαίῳ τὸ νόμιμον, οἷα ἐκείνου τοῖς πᾶσι κοινοῦ ὄντος ἀκολουθίᾳ τῆς φύσεως, τὸ δὲ ἔθνει τινὶ, ἢ πολιτείᾳ καὶ κατὰ δόξαν τῶν πολιτευομένων τὸ κῦρος ἔσχηκεν: Ἔστι δὲ τῶν ἀτέχνων πίστεων, ἅτε δὴ καὶ ὅσα εἰς νόμους καὶ συνθήκας ἀνήκουσιν ἐπιχειρήματα. λαμβάνειν μέντοι τὴν σύστασιν ἐνδέχεται, πρῶτον μὲν, εἰ τοῦθ' ὃ διαγορεύει ὀρθῶς ἔχον καὶ προσηκόντως δείξομεν· εἶτα καὶ ἔνδοξον, καὶ κατὰ τὴν τῶν πολλῶν κρίσιν, ἢ γοῦν τῶν σοφωτέρων. καὶ προσέτι ἀπὸ τοῦ χρόνου καθ' ὃν γέγραπται, τῆς τε ποιότητος καὶ διανοίας τοῦ γράψαντος: Ἀπὸ μὲν τοῦ διαγορευομένου οὕτω συνίστησι τὸν νόμον Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην.
Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνετε, ὅτι ἐνταῦ- ,,
θα ἔνι καὶ τοὺς ἀξίους ἔχειν τὰ δοθέντα, καὶ τὰ ἑξῆς: ,,

ἀπὸ τοῦ χείρονος εἰς τὸ κρεῖττον μετάστασις. Εὐπορήσομεν δὲ τῶν ἀξιώσεων, καὶ ἐξ ὧν οἱ πάλαι φιλόσοφοι συγγεγράφασι, καὶ ἀπὸ τῆς καθ' ἡμέραν ὑπολήψεως, καὶ τούτων ἢ πάντων, ἢ τῶν γνωριμωτέρων καὶ φρονιμωτέρων:

ΠΕΡΙ ΤΩΝ ΤΕΛΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ.

Ἐξεθέμεθα οὖν ξὺν θεῷ μέχρι τοῦ δε ὅσοις ἀνωτέρω ἀπηριθμηκότες ἐσμὲν τόποις, καὶ ὡς παρ' ἐκείνων ληπτέα εἴη τἀπιχειρήματα, ἐμοὶ δοκεῖ ἀποχρώντως εἰρῆσθαι, πρός γε συντετμημένῳ τοῦ συγγράμματος, καὶ πρὸς ἀκροατὰς φιλοπονεῖν μὴ κατοκνοῦντας. Ἐχόμενον δ' ἤδη εἰπεῖν καὶ περὶ τῶν τελικῶν κεφαλαίων, ἅπερ εἰσὶ κατά γε Ἀριστοτέλη. τὸ δίκαιον. τὸ νόμιμον. τὸ συμφέρον. τὸ καλόν. τὸ ἡδύ. τὸ δυνατόν. τοιαῦτα γὰρ ἐπειδὰν δείξωμεν, ἐφ' ἃ παρακαλοῦμεν, ἢ τἀναντία τούτοις, παρ' ὧν ἀποτρέπομεν, ῥᾶστα τοῦ σκοποῦ τετυχηκότες ἐσόμεθα. Ἔστι γὰρ ὡς εἰπεῖν τάδε, καὶ ἀμειλίκτου ψυχῆς εἰς ἐπιείκειαν θέλγητρα, καὶ ἱκανὰ πρὸς πειθὼ παρορμήματα:

ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΥ.

Δίκαιον μὲν οὖν ἐστιν (ἢ παρ' Ἀριστοτέλει ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ ὥρισται) τὸ τῶν ἁπάντων ἢ γοῦν τῶν πλείστων ἔθος ἄγραφον διορίζον τὰ καλὰ καὶ αἰσχρά. τοιοῦτον δέ ἐστι τὸ γονέας τιμᾶν, φίλους εὖ ποιεῖν, τοῖς εὐεργέταις χάριν ἀντιδιδόναι, καὶ ὅσα τούτοις παραπλήσια. ἐκ φύσεως γὰρ ταῦτα, καὶ οὐχ ὑπ' ἐγγράφων νόμων οἱ ἄνθρωποι πράττειν ἐπάγονται. Κατασκευάσομεν δὲ τὸ δίκαιον, ἢ ἀπὸ τοῦ προσώπου, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ ὁμοίου, ἢ ἀπὸ τοῦ ἐναντίου καὶ ἐνδόξου. Καὶ ἀπὸ μὲν τοῦ προσώπου, οἷον, Θηβαίοις δίκαιον ἐλεεῖν, καὶ τὸν ἐνόντα τρόπον χεῖρα ὀρέγειν ἐπικουρίας. Ἕλληνες γὰρ καὶ ἡμῖν ὁμόφυλοι, φίλοι προσέτι· καὶ

ἐσυ-

γκήσαντας ἀνταγωνιστεῖν ὀφειλόμεθα. Καὶ ἐπὶ τῆς κατὰ στέρησιν. Εἰ μὲν ἡ τυφλότης λύπης αἴτιον, καὶ ἡ ὅρασις ἡδονῆς ἔσται πρόξενος. καὶ ὥσπερ ἡ τοῦ στρατηγοῦ παρουσία ἀταξίαν ἐμποιεῖ τοῖς στρατευομένοις, οὕτως ἡ ἀπουσία τῆς ἐκείνων εὐταξίας αἰτία καθέστηκεν. Ἐπὶ δὲ τῶν πρός τι οὕτω. καθάπερ τῷ ἄρχοντι εὖ ποιεῖν προσήκειν ἡγούμεθα, οὕτω καὶ τῷ ἀρχομένῳ παρ' ἐκείνου εὖ πάσχειν. καὶ εἰ τῷ διδάσκοντι λέγειν προσήκει, καὶ τοῖς διδασκομένοις ἕπεται τὸ διὰ σιγῆς ἀκροᾶσθαι:

ΠΕΡΙ ΑΞΙΩΣΕΩΣ ΕΙΤΟΥΝ Μαρτυρίας.

Ἡ ἀξίωσις (ἣν καὶ κεκριμένον εἴωθεν ὁ Ἀριστοτέλης πολλαχοῦ καλεῖν) δόξα ἐστὶν, ἤτοι ὑπόληψις τινὸς ἢ τινῶν περί τινος ἔχειν οὕτως, ἢ μὴ ἔχειν. Ἔστι δὲ προκριτέα μᾶλλον, ἡ μᾶλλον κοινή. καὶ ἡ γοῦν ἡ τῶν σοφωτέρων καὶ φρονιμωτέρων, καὶ τούτων ἢ πάντων, ἢ τῶν πλείστων. ἢ τῶν γνωριμωτάτων, καὶ δόξαν φερόντων περὶ ἃ ἡ ἀμφισβήτησις προσβάλλεται. προσβάλλεται δὲ πρὸς πειθὼ τὰ μάλιστα καὶ ἡ τῶν ἀνταγωνιστῶν δόξα, ἢ τῶν ἀποδεχομένων ἐκείνοις, ἐπειδὰν δηλαδὴ τοιαῦτα δοξάζοντας δείξωμεν τοὺς ἀνταγωνιζομένους, οἷα ἡμεῖς φαμέν. ἢ τοὺς παρ' ἐκείνοις μέγα εἰληχότας ὄνομα. ἔστι γὰρ οἷον μάρτυρας αὐτοὺς τῶν λεγομένων ἐπάγειν. τὰ δὲ ἐντεῦθεν ἐπιχειρήματα, τοιαῦτα. Καὶ οὐχ ἡμεῖς μισοῦμεν μόνον καὶ κακῶς ποιοῦμεν τοὺς ἐχθροὺς, ἀλλὰ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι τοὺς ἐχθροὺς τιμωρεῖσθαι. καὶ οὕτως. Οὐ μόνον οἱ Ἕλληνες τοὺς νεωτερίζοντας ἐν τῇ Ἐκκλησίᾳ μισάττονται. ἀλλὰ καὶ τὰ λοιπὰ ἔθνη, ὅσα τὴν τῶν χριστιανῶν πρεσβεύουσι θρησκείαν. καὶ τὸ τοῦ Θεοφυλάκτου, ὅτι τὸ θνήσκειν, τέλος μᾶλλον, ἢ αἰτία ἐστὶ τῶν ἀνιαρῶν. οὐ γὰρ περιάγει φησὶν ὁ δημιουργὸς ἐπὶ τὸ χεῖρον τὰ δημιουργήματα. εἰ γοῦν τὸ θνήσκειν ὑπὸ τοῦ δημιουργοῦ κέκριται, οὐκ ἔσται ἀπὸ τοῦ κρείττονος εἰς τὸ χεῖρον διάλυσις. ἀλλ'

περὶ θεοῦ λέγειν, καὶ περὶ τῆς αἰσθητῆς τινὸς διαλέγεσθαι. ἐκεῖνα μὲν γὰρ τῇ αἰσθήσει μεταλαμβάνεται, παρ' ὧν καὶ πέφυκε κρίνεσθαι. τὸ δὲ θεῖον ὅσον τῶν ὑλικῶν τούτων διέστηκε, τοσοῦτον ἡμῶν τὸ ἡγεμονικὸν ὑπερβέβηκεν. οὔτε σαρκὶ ὂν ψαυστόν. οὔτε ἀκοῇ παθητόν. οὔτε ὀφθαλμοῖς ὁρατόν. οὔτε φωνῇ ῥητόν. διὸ οὐδὲ παντὸς τὸ περὶ θεοῦ φιλοσοφεῖν, ἀλλὰ μόνοις τοῖς ἐν θεωρίᾳ διαβεβηκόσι, καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένοις. καὶ τούτοις οὐκ ἐκ τοῦ καθ' αὐτὸ τὸ θεῖον ληπτὸν, ἀλλὰ τῶν περὶ αὐτοῦ, ἥ φησιν ἡ θεολόγος φωνή. καὶ οὕτως· Ἀνόμοιον μὲν εἰ καὶ μὴ κατὰ πάντα ποίμνης ἄρχειν καὶ ἐπιστατεῖν ψυχαῖς. οἷον τὸ τοῦ θεολόγου ἐν τῇ ἀπολογίᾳ. « Οὐκ ᾤμην ἴσον εἶναι, οὐδὲ νῦν οἴομαι, ποίμνης ἄρχειν καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς, καὶ τὰ ὅμοια.

ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΚΕΙΜΕΝΩΝ.

Τετραμερῆ δὲ τῶν ἀντικειμένων διανομὴν οἱ περὶ φιλοσόφους ἀξιοῦσι γίγνεσθαι. ἢ γὰρ καταφάσεως καὶ ἀποφάσεως ἀντιθέσει. οἷον, ἥδεται, οὐχ ἥδεται. ἢ εὐνομεῖται, ἢ οὐκ εὐνομεῖται. ἢ ἐναντιώσεως ἀντιθέσει. οἷον, χρηστὸς, ἢ φαῦλος. ἢ καθ' ἕξιν καὶ στέρησιν. ὡς ὄψις, τυφλότης. ἀπουσία, παρουσία. ἢ ὡς τὰ πρός τι. οἷον ἄρχων, ἀρχόμενος. διδάσκων, διδασκόμενος. πατὴρ, υἱός. Ἐπὶ τούτων οὖν ἁπάντων ἐστὶν ἐπιχειροῦντας θατέρου τῶν ἀντικειμένων ὁμολογουμένου, ἢ ἀποτιθεμένου, ἐπὶ θάτερον τῶν ἀντικειμένων ἐπισυναγαγεῖν τὸ ἀντικείμενον. οἷον φέρε εἰπεῖν. Ἐπὶ τῶν κατὰ ἀπόφασιν καὶ κατάφασιν λεγομένων. εἰ τὸ ἥδεσθαι ἐστὶν εὐδαιμονεῖν, τὸ μὴ ἥδεσθαι οὐκ ἔσται εὐδαιμονία. ἢ οὕτως, ὃ καὶ μᾶλλον ἐστὶν ἀληθέστερον. εἰ τὸ εὐνομεῖσθαι ἐστὶν εὐπραγία πόλεως, ἡ μὴ εὐνομουμένη πόλις οὐκ εὐπραγήσει. Ἐπὶ δὲ τῶν ἐναντίων οὕτως. εἰ τοὺς χρηστοὺς προσήκει φιλεῖν, μισεῖν ἕπεται τοὺς φαύλους. καὶ εἰ τοὺς κακῶς δράσαντας ἀμυνόμεθα, τοὺς εὐερ-

γετήσαντας

τοὺς τυχόντας ἐπιχειρεῖν ἀδικεῖν δεινὸν, χαλεπώτερον πάντως τοὺς ἰδίους δεσπότας. (Ἀπὸ δὲ τοῦ καιροῦ.) Εἰ γὰρ ἐν ἄλλῳ τινὶ καιρῷ ὑβρίζειν τὴν ἀνυπαίτιον ὑπείληπται, πολλῷ μᾶλλον ἐν Διονυσίοις. (Καὶ ἀπὸ τοῦ τόπου.) Δεινὸν μὲν οὖν εἰ καὶ ἐν βεβήλῳ τόπῳ τὸ πραχθὲν ἐσκευώρητο, ἢ κατ' ἰδίαν, ἀλλὰ χαλεπώτερον δή που ἐν ἱερῷ καὶ ἐν θεάτρῳ. (Ἀπὸ δὲ τοῦ τρόπου.) Εἰ μὲν οὖν καὶ τὸ ἁπλῶς ὑβρίσαι δεινὸν, πῶς οὐ χαλεπώτερον καὶ πληγὰς ἐπιθῆναι, καὶ τὴν ἱερὰν περιρρῆξαι ἐσθῆτα; (Ἐκ δὲ τῆς αἰτίας.) Οἱ μὲν ἡμέτεροι πρόγονοι καλῶς ποιοῦντες, νόμον ἔθεντο μὴ ἐξεῖναι τοῖς καὶ δεινόν τι παρὰ τῶν πεπονθόσιν ὑβρίζειν, ἀλλ' ἐπὶ τοὺς προκαθημένους τῆς δίκης τὸ τολμηθὲν ἀναφέρειν, καὶ παρ' ἐκείνων τὴν ψῆφον καραδοκεῖν. ὁ δὲ καὶ μηδὲν τι δεινὸν πεπονθὼς τὴν τῶν χέρων ἐν τῇ ἑορτῇ εὐδοκίμησιν, τῶν παραινεῖν αἰτίας πεποίηται. Τῷ αὐτῷ δὲ λόγῳ καὶ τὰ ἀπὸ τοῦ μείζονος ἐργάσαιο ἐπιχειρήματα:

ΠΕΡΙ ΟΜΟΙΟΥ ΚΑΙ ΑΝΟΜΙΟΥ.

Τότε ὅμοιον καὶ ἀνόμοιον καθ' αὑτὸ τῆς ποιότητος εἰσὶν ἴδια. χρηστικῶς δ' ἄμφω πρὸς ἕτερα λέγεται ἅτε δὴ καὶ ἐπὶ τῆς ποσότητος τὸ ἴσον μεῖζον καὶ ἔλαττον. ὅμοια δ' οὖν ἐκεῖνα ῥητέον, ἃ κοινωνίαν τινὰ ποιότητος εἴληχεν, ἢ ἀναλογίαν πρὸς ἄλληλα. ἀνόμοια δὲ, τὰ μὴ κατὰ τὸν αὐτὸν κοινωνοῦντα λόγον. οἷον ὅμοιον μὲν ψιμμυθίῳ ἡ χιὼν, ἀμφότερα γὰρ λευκά. εἰ γοῦν θάτερον διακριτικὸν ὄψεως, καὶ θάτερον. καὶ πάλιν. ὅμοιον μὲν τῇ ὑγείᾳ παιδεία. καθάπερ γὰρ φυλακτικὸν σώματος ἡ ὑγεία, οὕτω τῆς ψυχῆς φυλακτικὸν πεφυκέναι ἡ παιδεία. ἢ οὕτως. ὥσπερ ἐν στρατοπέδῳ ὁ στρατηγὸς, οὕτως ἐν βίῳ παιδεία. οὔτε οὖν ἄνευ στρατηγοῦ ἐν στρατοπέδῳ ἐστὶν εὐταξία, οὔτε παιδείας ἐκτὸς ἐν βίῳ ἐστὶ κοσμιότης: Ἐπὶ δὲ τοῦ ἀνομοίου οὕτως. Οὐ ταυτὸν ἐστὶ

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΤΟΠΩΝ, ΠΕΡΙ Ἴσου Μείζονος καὶ Ἐλάττονος.

Ἴσον, μεῖζον, καὶ ἔλαττον, ἰδιαίτατα μὲν ἐπὶ τῆς ποσότητος λέγονται. πολλάκις μέντοι καὶ ἐπὶ τὴν ποιότητα μεταφέρονται. οὐ μέντοι κυρίως ἐπ' ἐκείνης εἰσὶ λεγόμενα. Ἔστι δὲ ἴσον, τὸ ἰσοστάθμως ἑτέρῳ τινὶ μεταλαμβάνον τῆς ποσότητος. μεῖζον δὲ καὶ ἔλαττον, ἐλαττώματα τούτου εἰσὶν ἐπὶ θάτερον. τὸ μὲν ὑπερπίπτον τῷ ἴσῳ. τὸ δὲ ἐντὸς τούτου πῖπτον. Εἴρηνται δὲ οἱ τόποι κοινοί, ὅτι πᾶσιν ἐφαρμόττουσι τοῖς λοιποῖς. καὶ ἐπὶ μὲν τοῦ ἴσου τοιαῦτα ἐργάσαιο τὰ ἐπιχειρήματα. ¶ Ἐκ δὲ τοῦ πράγματος ὧδε) Ἦν γὰρ Θεμιστοκλῆς ἐν Σαλαμῖνι κατὰ βαρβάρων, ταύτην Μιλτιάδης πρότερον κατὰ τῶν αὐτῶν ἤρετο νίκην. ¶ Ἐπὶ δὲ τοῦ προσώπου) Ὥσπερ μὲν Ἀθηναῖοι Δημοσθένη τὸν Ῥήτορα χρυσῷ στεφάνῳ δημοσίᾳ ἐτίμησαν, οὕτω καὶ παρὰ Ῥωμαίοις θαυμάζεσθαι δεῖ τὸν Κικέρωνα. ¶ Ἀπὸ δὲ τοῦ χρόνου) οἷον, νύκτωρ μὲν καὶ ὁ Δόλων ἐπὶ τὸν ναύσταθμον κατάσκοπος κάτεισιν. ἀλλ' οὐδεὶς διὰ τοῦτο τὸν Δόλωνα ἐν ἥρωσιν ἔκρινε. τί οὖν θαυμαστὸν εἰ καὶ ὁ Δυσσεὺς τοῦτο ἐτόλμησε; ¶ Ἀπὸ δὲ τοῦ τόπου) Εἰ δὲ ἀνδρικὸν ἡγηνται ἔργον ἔνδον τῶν τοίχων μένοντες ἀπὸ τῶν ἐπάλξεων τοὺς πολεμίους ἀμύνασθαι, ὥρα λοιπὸν καὶ τοὺς σκορπίους ἀρίστους ὀνομάζειν ἥρωας, ἐξ ἀφανοῦς τὰ χωρία πλήττοντας: Τὰ πολλὰ μέντοι τὰ ἐκ τοῦ ἴσου ἐπιχειρήματα, τοῖς ἀπὸ τοῦ ὁμοίου εἰσὶ τὰ αὐτά. τὸ γὰρ ἴσον (ὡς εἴρηται) καὶ ἀντὶ τοῦ ὁμοίου ἐπὶ τῆς ποιότητος παρὰ τοῖς Ῥήτορσι λαμβάνεται, καὶ ἐναλλάξ. Ἐπὶ δὲ τοῦ ἐλάττονος τοιούτοις χρήσασθαι δυνατὸν τοῖς ἐπιχειρήμασιν. ἐπὶ μὲν τοῦ πράγματος φέρ' εἰπεῖν. Εἰ μὲν τοὺς χρήματα ζημιώσαντας κολάζομεν, πῶς οὐ πολυμᾶλλον τοὺς εἰς αὐτὸ τὸ σῶμα ἠσελγηκότες; ¶ Ἀπὸ δὲ τοῦ προσώπου) Εἰ μὲν ταῦτα παρ' ἐλευθέρων οὐδαμῶς ἀνεχώμεθα, χολῇ γε ἂν παρὰ δούλων οἴσομεν. ἢ οὕτως. Εἰ μὲν καὶ

τοὺς

κῶν πολυειδῶς ἀγονίζεται. ἔνθα βουλόμενος προτρέψασθαι τοὺς Ἀθηναίους πόλεμον ἐπενεγκεῖν ὑπὲρ Ὀλυνθίων τῷ Φιλίππῳ, φησίν. Ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἄνδρες Ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιείς. (Καὶ παρακατιὼν) Νυνὶ δὲ καιρὸς ἥκει. τίς οὗτος; ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει. καὶ πάλιν. Χρὴ ὦ ἄνδρες Ἀθηναῖοι τὴν Φιλίππου ἀκαιρίαν, καιρὸν ἡμέτερον νομίσαντες, ἑτοίμως συναίρεσθαι τοῖς πράγμασι.

Ἀπὸ δὲ τοῦ τόπου ἐπιδεῖξαι βουλόμενος πῇ ποτὲ δεήσειε καὶ Ἀθηναίους συμπλέξαι τῷ Φιλίππῳ τὰς χεῖρας οἴκοι μένοντας, ἢ τείρεσι πρὸς ἐκεῖνον καταβάντας, φησὶν ἐν τῷ αὐτῷ. Ἀλλὰ μὴν ἡλίκα ἐστὶ τὰ διάφορα ἐνθάδε ἢ ἐκεῖ πολεμεῖν, λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ἡμᾶς δεήσειε. καὶ τὰ ἑξῆς. καὶ ἄλλοθι. Εἴ τε γὰρ ἡμεῖς τὴν ἐκείνου κακῶς ποιούντων Ὄλυνθον διασώσετε, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται. ἤ τε βοηθησάντων μόνον καὶ τὰ ἑξῆς.

Ἀπὸ τοῦ τόπου.

Τῷ δὲ ἀπὸ τοῦ προσώπου ληψομένῳ τὰ ἐπιχειρήματα, δεήσει πολλάκις, καὶ πατρίδα τούτων ἀνακρίνειν, πατέρας τε, καὶ προγόνους, ἔτι δὲ καὶ παίδευσιν αὐτῶν, ἤθη τε καὶ ἡλικίαν. καὶ τὰ σώμασιν αὐτῶν ἐμφαινόμενα σημεῖα, ὀξύτητα δηλαδὴ ῥινός. καὶ μυκτήρων εὐρύτητα. ὠχρίασιν καὶ ἐρυθρίασιν. λευκότητα, μελανότητα. καὶ τὰ κατάλληλα τούτοις ἐπίσημα. ἐκ γὰρ τούτων σχεδὸν ἁπάντων εὐπορῆσαι ἐστὶν ἐκ τῶν προσώπων ἐπιχειρημάτων. Παραδείγμασι δὲ τούτων καὶ παρ' ἄλλοις ἐντεύξασθε μάλα συχνοῖς, μάλιστα δὲ παρὰ Δημοσθένει ἐν τῷ περὶ Στεφάνου, καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος. ἐν ᾧ Δημοσθένους κατηγορῶν πατρίδα τε καὶ ἤθη καὶ προγόνους, καὶ τὰ παραπλήσια ἐκείνου πολυπραγμονῶν, πορίζεται τὰ κατ' αὐτοῦ τούτου ἐπιχειρήματα:

Ἀπὸ τοῦ προσώπου.

γεῖν ἐπὶ τὸ τετοκέναι. ἐνδέχεται γὰρ καὶ ἐκ φόβου, ἢ νόσου ἢ ἄλλων τινῶν ὠχριᾶσαι. ἐπὶ οὖν τούτων ὁ τοῦ διότι μόνον ἀληθεύει συλλογισμός. δηλαδὴ ὁ ἐκ τῆς αἰτίας. Τὰ δὲ ἐπ' ἔλαττον εἰσὶ τῶν αἰτιατῶν. οἷον ἡ τετοκυῖα γυνή, ἀνδρὶ πεπλησίακε πάντως. οὐ μὴν ἡ πλησιάζασα ὅλως καὶ τέτοκε. κἀν τούτοις ὁ μὲν τοῦ ὅτι συλλογισμὸς ὁ ἐκ τῶν ἐνεργειῶν δηλονότι, πάντως ἀληθής. ὁ δὲ τοῦ διότι, ἤτοι ὁ ἐκ τῶν αἰτιῶν, οὐκ ἔτι. ἔστι δὲ ὁ τόπος ὡς τὰ πολλὰ ὁ αὐτὸς τῷ ἀπὸ τοῦ τέλους, εἴπερ ἀληθὲς τὸ κοινῇ παρὰ τῶν Φιλοσόφων λεγόμενον ἀξίωμα. ἕκαστον τῆς ἰδίας ἐνεργείας ἕνεκεν εἶναι. μάλιστα μέντοι τοῦτο σαφὲς ἐκ τῶν τῆς ψυχῆς δυνάμεών τε καὶ ἕξεων. οἷα ἐστὶ καὶ ἡ προλεχθεῖσα εἰς ζήτησιν ἀστρολογία. ἐφ' ἧς τοιόνδε ἐστὶ κατασκευάσαι ἐπιχείρημα. Εἰ γὰρ τοιαύτας ἀνάγκη πάσας εἶναι τὰς δυνάμεις, οἷα εἰσὶ καὶ τὰ πρὸς τούτων ἀποτελούμενα, ὡς ὁ τῶν Φιλοσόφων βούλεται λόγος, καὶ ἡ φύσις σαφέστατα τῇ ὁσημέραι πείρᾳ ἐπισφραγίζεται, πῶς ἡ ἀστρολογία οὐ λυσιτελὲς τὰ ἐπωφελέστατα τῷ τῶν ἀνθρώπων προξενοῦσα γένει; διὰ ταύτης γὰρ καὶ στρατηγὸς ἄριστα τὰ εἰς στρατηγίαν ἀνήκοντα διοικεῖ, καὶ γεωργὸς ὅσα γεωργίᾳ προσήκει, καὶ ναύτης τὰ εἰς ναυτιλίαν ἀφορῶντα. ἀλλὰ καὶ ἡ ἀκριβὴς τῆς περὶ τὴν ἰατρικὴν καὶ φυσικὴν ἐπιστήμην γνῶσις, ἐκ ταύτης ἐξήρτηται. καὶ σχεδὸν ἅπας ὁ τῶν ἀνθρώπων βίος ταύτῃ διαθετεῖται καὶ διεξάγεται. εἰ μὴ μέλλει μυρίοις διαφυλάξῃ τοῖς καθ' ἡμέραν διαμαρτήμασί τε καὶ ἀτυχήμασι:

ΠΕΡΙ ΤΟΠΟΥ ΚΑΙ ΧΡΟΝΟΥ
καὶ προσώπου.

Ἀπὸ τοῦ χρόνου.

Οὐ τὴν τυχοῦσαν ἔχει κἂν εἰς πειθὼ δύναμιν τὰ ὑπὸ τῶν παρεπομένων ἐπιχειρήματα. οἷον τόπος, χρόνος, καὶ τὰ ἑξῆς. Καὶ ἀπὸ μὲν τοῦ χρόνου Δημοσθένης ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν

κῶν

κις εἴδη καὶ τὰς μορφὰς οὐκ ὀκνοῦσι καλεῖν. εἶδος ἀνθρώπου λέγοντες τὴν τοῦ ἀνδριάντος μορφήν. Ἐπὶ γοῦν τοῦ προκειμένου εἰδικὸν ἂν εἴη αἴτιον ἡ ποιότης, καθ᾽ ἣν μορφοῦται πῶς ὁ νοῦς, καὶ πρὸς τὴν τοῦ ἀληθοῦς φαντασίαν ἀκινητώτερος καθίσταται. τὸ δὲ ἐκ τοῦ ἐπιχειρήματος τοιόνδε: Εἰ μὲν τὴν τῶν αἰσθήσεων δεξίαν, οὐχ ὅπως ἐπαινοῦμεν, ἀλλὰ καὶ τὸν κατ᾽ αὐτὴν εὖ ἔχοντα μακαρίζομεν, καὶ ταύτῃ ὡς εἰκὸς τὰ μάλιστα χαίρομεν, πῶς οὐκ ἂν ἐπαινέσωμεν ἐπιστήμην, καὶ ὅλῃ ψυχῇ ἀσπασώμεθα, νοὸς δεξίαν οὖσαν, τοσοῦτον τῶν αἰσθήσεων ὑπερέχουσαν, ὅσα καὶ ψυχὴ σώματος;

ΠΕΡΙ ΤΟΥ ΑΠΟ ΤΩΝ ἐνεργειῶν τόπου.

Τὰς ἐνεργείας δὲ εἰσαῦθις ἀνασκοπήσωμεν, καὶ τὰ περὶ ὧν ὁ λόγος ἀποτελέσματα, οὐκ ἔστιν ὅπως πολλῶν καὶ καλῶν ἐπιχειρημάτων ἀπορήσομεν. καὶ μάλιστα οἰκείων τῷ Ῥήτορι. αἱ γὰρ ἐνέργειαι ἤτοι ἀποτελέσματα, σημεῖα εἰσὶν ἐξ ὧν (ὡς εἴρηται τῷ φιλοσόφῳ) ὡς ἐπὶ τὸ πλεῖστον οἱ κατὰ Ῥήτορας συνίστανται συλλογισμοί. ἐκ τούτων γὰρ οἱ τοῦ ὅτι συλλογισμοί. διότι ἐκ τῶν ἡμῖν γνωριμωτέρων καὶ σαφεστέρων εἰωθότες λαμβάνεσθαι, Ῥητορικῇ μᾶλλον προσήκουσι, τῇ διὰ τῶν κοινῶν καὶ ἐνδόξων τελούσῃ τοῦ προτεθέντος πιθανουργικῇ. Εἰσὶ δὲ αἱ ἀπὸ τῶν τελεσμάτων δείξεις οὐ πᾶσαι ἀναγκαῖαι, ἀλλ᾽ οἷαι εἰσὶν αἱ τεκμηριώδεις προσαγορευόμεναι. ὅσαι δή ποθεν ἐκ τῶν ἀντιστρεφόντων λαμβάνουσι σημεῖον. οἷον εἰ καπνὸς, ἄρα καὶ πῦρ. καὶ εἰ ἡμέρα, ἄρα καὶ ἥλιος ὑπὲρ γῆν. ἐφ᾽ ὧν ἔστιν ἀμφοτέρωθεν τὸν συλλογισμὸν ἔκ τε τοῦ αἰτίου δηλονότι καὶ τοῦ αἰτιατοῦ ἀληθεύειν. Τῶν δὲ μὴ ἀντιστρεφόντων διττόν ἐστι γένος. τὰ μὲν γὰρ ἐπὶ πλέον εἰσὶ τοῦ αἰτιατοῦ. οἷον ἡ ὠχρότης τοῦ τετοκέναι. τῷ μὲν γὰρ ἡ ὠχρότης ἕπεται. οὐ μὴν καὶ ἀνάπαλιν ὑποτιθεμένης τῆς ὠχρότητος, πάντως συναγα-

μὲν ἁπάντων τοῖς ἐν ἀνθρώποις τὸ κάλλιστον ὄντως καὶ τιμιώτατον, καὶ μόνος φέρειν εἰληχὼς τῆς τοῦ θείου ἐπωνυμίαν, ὡς μόνος ὢν κῆρας ὑπέρτερος, τῶν ἄλλων ἁπάντων ἐπικήρων ὄντων, ὅσα τῇ λογικῇ φύσει παρὰ τοῦ δημιουργήσαντος κεχάρισται. εἰ δὲ νοῦς τοιοῦτον, τίς οὕτω σκαιὸς καὶ τὴν διάνοιαν ἀμβλυωπῶν, ὅς τις οὐχ ὁρᾷ ὅτι πᾶσα μὲν ἐπιστήμη, μάλιστα ἀστρολογία, γνήσιον οὖσα νοὸς ἀποκύημα, ὁτινοσοῦν, ὧν ἐπιβόλοις τοῖς ἀνθρώποις γενέσθαι κρείττω καθέστηκε; τῶν γὰρ γινομένων ἕκαστον μετρεῖσθαι πέφυκε κατὰ τὴν τοῦ ποιητικοῦ αἰτίου τελειότητα. πᾶν γὰρ τὸ ἐνεργοῦν ἐξομοιοῦν ἑαυτῷ σπεύδει τὸ πάσχον κατὰ τὴν ἐνοῦσαν δύναμιν:

Περὶ ὑλικοῦ αἰτίου.

Ὕλη δὲ ἐστιν, ἐξ ἧς τι πέφυκε γίγνεσθαι. οἷον ἐκ τοῦ πηλοῦ τὸ κεράμειον, καὶ ὁ ἀνδριὰς εἰ τύχῃ ἐκ τοῦ χαλκοῦ. ὅθεν ἡ τῶν ἐπιχειρημάτων λῆψις ἐστὶ κατάδηλος. εἰ γὰρ ὁ μὲν τῶν Ῥοδίων Κολοσσὸς ἐκ χαλκοῦ, ὁ δὲ τῶν Αἰγυπτίων Ἄνουβις ἐκ χρυσοῦ, προτιμητέος πάντως τῶν Ῥοδίων Ἄνουβις. οὐκ ἐπὶ πάντων ἀληθεύσει μέντοι τὸ ἐξ ὕλης ἐπιχείρημα, ἐκ τῆς κρείττονος δηλαδὴ λαμβανόμενον. ἔσθ᾽ ὅτε γὰρ τὰ ἐκ χείρονος ὕλης διὰ τὸ ὑπερβάλλον τῆς τέχνης, ἢ διὰ τὸ χρήσιμον, ἢ γοῦν τῷ μεγέθει τῆς ποσότητος ὑπερέχοντα, αἱρετώτερα εἰσὶ τῶν τὴν ὕλην πολυτελῶν: Τῆς μὲν ἀστρολογίας ὕλη διττή. ἥ τε ἐκτὸς δηλαδὴ περὶ ἣν στρέφεται, καὶ ἧς ἐστὶ θεωρητική. καὶ ἡ ἐντὸς, ἐφ᾽ ἧς ἵδρυται, καὶ ἣν πως μορφοῖ τὴν καὶ διαπήδησιν, ἥτις ἐστὶ τὸ λογικὸν τῆς ψυχῆς μόριον. ὃ καὶ κρεῖττον ὂν τῶν λοιπῶν, τῷ τε εἶναι καὶ τῷ ἐνεργεῖν, καὶ τῇ τιμιότητι, καὶ τῇ ἐν αὐτῷ ἕξεσιν, οὐ μετρίαν χαρίζεται τὴν ὑπεροχήν:

Περὶ τοῦ εἰδικοῦ αἰτίου.

Εἰδικὸν δὲ αἴτιον, οἱ μὲν περὶ φιλοσοφίας, τὸ οὐσιῶδες καὶ μόνον οἴδασιν εἶδος. ὅπερ τῇ ὕλῃ συμφυὲν, τὴν τοῦ συνθέτου οὐσίαν συνίστησιν. οἷον τὸ τοῦ ἀνθρώπου εἶδος, τῷ Σωκράτει φέρε εἰπεῖν μορφῶσαν ὕλην, τὸ ἄνθρωπος εἶναι ἐκείνῳ χαρίζεται. Ῥήτορες δὲ καὶ τὰ συμβεβηκότα πολλά-

κις

ΠΕΡΙ ΤΩΝ ΑΙΤΙΩΝ.

Αἰτία δέ ἐστι δι' ἣν πρὸς τὸ τί δεῖ πιθανολογουμένους ἀπαντῶμεν. Εἰσὶ δὲ τῶν αἰτίων γένη τέτταρα. τὸ τελικὸν δηλαδή. τὸ ποιητικόν. ὑλικόν τε παρὰ ταῦτα. καὶ εἰδικόν. ὧν τὸ μὲν τελικὸν αἴτιον ἐστὶν οὗ ἕνεκα τἄλλα γίνεται. οἷον τοῦ ὑγιαίνειν ἕνεκα, τὸ γυμνάζεσθαι. καὶ τῆς μαθήσεως, ἡ περὶ τὴν σχολὴν ἄσκησις. καὶ ἡ τῶν χρημάτων ἀπορία, τῆς ἐμπορίας ἐστὶ τέλος. καὶ τὰ ὅμοια: Τῆς ἀστρολογίας, ὅσον μὲν καθαρῶς ἐστι, θεωρητικὸν τέλος ἔσχηκεν, ἅτε δὴ καὶ πᾶσα ἐπιστήμη τὴν τοῦ ἰδίου ὑποκειμένου θεωρίαν, ὅπερ ἐστὶν ἡ τῶν θείων σωμάτων ποικιλία τε καὶ τὰ διάμαλα. ὅσον δὲ ἀποτελεσματικὸν παρὰ τὴν θεωρίαν καὶ τὴν πρόγνωσιν τῶν καθ' ἡμᾶς συμβαινόντων, κατὰ τὰς ἐκείνων φοράς τε καὶ ἀποῤῥοίας ἑαυτοῦ τέλος ποιεῖται. Ὅθεν καὶ ἐπιχειρεῖν ἐστὶν οὑτωσί πως. Ὅτι μὲν οὖν ἡ περὶ τὴν τῶν θείων σωμάτων ποικιλίαν καὶ κάλλος θεωρία τῶν ἀρετῶν ἐστί τι, καὶ μέγα εἰς εὐδαιμονίαν ἀνθρώπου συμβαλλόμενον, οὐδεὶς νοῦν ἔχων ἀμφισβητήσειεν. ἡ δὲ τῶν μελλόντων πρόγνωσις, ἀτεχνῶς δαιμόνιόν τι χρῆμα, καὶ τῆς θείας μοίρας πέφυκε πλεονέκτημα. ἀλλ' εἰ τοῦτο οὕτως ἔχον ἐστὶ καὶ παρὰ πᾶσιν ὡμολόγηται, πῶς οὐκ ἂν τιμηθείη ἀστρολογία, δι' ἧς τοῦτο τοῖς ἀνθρώποις περιγίνεται; *Περὶ τοῦ τελικοῦ αἰτίου.*

Ποιητικὸν δὲ αἴτιον, ἀφ' οὗ τι εἰς ὕπαρξιν πρόεισιν. οἷον τὸ κεράμιον ἐκ τοῦ κεραμέως, καὶ πρὸς τοῦ ἡλίου τὸ φῶς. Ἐπιστήμης δὲ οἷα δὴ καὶ τεχνῶν ἁπασῶν ποιητικόν ἐστιν αἴτιον, τὸ τοῦ νοὸς ὀξυδερκές τε καὶ γόνιμον διὰ τῆς συνεχοῦς ἐνεργείας. Ποιηταὶ δὲ πολλάκις καὶ Ῥήτορες τὴν τῶν ἐπιστημῶν γένεσιν εἰς Θεὸν ἀναφέρουσι, καὶ οὕτω μὲν κομψευομένοις, ῥᾷστα πολλῶν καὶ καλῶν ἐπιχειρημάτων ἐκ τοῦ ποιητικοῦ εὐπορῆσαι αἰτίου ἐπὶ τῆς ἀστρολογίας. ἂν δὲ τὰ κομψὰ ταῦτα τοῖς ποιητικευομένοις δόξει παραιτητέα, ἐκ τοῦ ὑπερέχοντος τοῦ νοὸς ληπτέον τὸ ἐπιχείρημα. οἷον. Νοῦς *Περὶ τοῦ ποιητικοῦ αἰτίου.*

μὲν

πέφυκεν, ἀλλὰ ἀλλοῖον τὸ ᾧ συμβέβηκεν. οἷον τὸ ἐν Σωκράτει φαλακρὸν, ἀλλοῖον ποιεῖ τὸν Σωκράτην τοῦ Πιθέως Μελίτου πεπανότειχες ὄντος:

Ἴδιον δέ ἐστιν, ὅσοι, οἱ περὶ τοὺς φιλοσόφους ἀκριβολογοῦσιν, ὃ μόνῳ συμβέβηκε τῷ οὗ ἐστιν ἴδιον, καὶ παντὶ τῷ ἐκείνου εἴδει, καὶ ἀεί. οἷον ἀνθρώπῳ τὸ γελαστικόν. Οἱ δὲ Ῥήτορες τῷ ἰδίῳ ὡς τὰ πολλὰ καὶ τὰ συμβεβηκότα ἀναμιγνύουσιν. οἷον μητράσι μὲν ἴδιον ἀπονέμοντες τὸ φιλόστοργον. μητρυιαῖς δὲ τὸ ἄστοργον. καὶ πάλιν Ἀθηναίοις μὲν, τὸ ἐν σοφίᾳ φιλοθεάμον. Λακεδαιμονίοις δὲ, τὸ ἐν πολέμοις παράβολον. ἀλλὰ καὶ ἔθνει παντί. οἷον Ἕλλησι μὲν, ἴδιον μένειν οἷς ἅπαξ ἔδοξε. Βαρβάροις δὲ, ἀστατεῖν, καὶ τὸ τῆς γνώμης παλίμβολον. καὶ ἐπὶ τοῦ προκειμένου. ἀστρολογίας μὲν ἴδιον, ἅτε δὴ καὶ τῶν ἄλλων ἐπιστημῶν τῆς ἀγνοίας ἀνακαθαιρούσης τὴν διάνοιαν, ὀξυτέραν τε καὶ ἐνεργεστέραν παρασκευάζειν περὶ τὴν τοῦ ἀληθοῦς ἔρευναν. ἰδία δὲ τὰ περὶ τοιαῦτα οἷα εἰσὶ τὰ οὐράνια σώματα. καὶ τοιοῦσδε καθ' ὃν δηλαδὴ λόγον ταῦτα διασκέπτεται. ἐντεῦθεν οὖν ὡδίπως ἐπιχειρητέον: Εἰ μέγα μὲν τὸ ὀξυδερκὲς καὶ ἀγχίνουν περὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν, καὶ πᾶσιν ἀνθρώποις πέφυκε περισπούδαστον, οὐχ ὅπως ὅτι πλεῖστον περὶ τὴν ὄντως θεωρίαν παρασκευάζει τὰ ἔχοντα, ἀλλὰ καὶ πάσας ἐκείνου ὀρέξεις τε καὶ ἐνεργείας διευθύνει τε, καὶ κόσμον αὐτοῖς ἐμποιεῖ τὸν προσήκοντα· πῶς οὐκ ἂν περιπόθητον αἱ ἐπιστῆμαι, καὶ τῷ τῶν ἀνθρώπων βίῳ λυσιτελέστατον, δι' ὧν τοῦτο τοῖς ἀνθρώποις φύσιν ἔχει πορίζεσθαι; εἰ δὲ τοῦτο ταῖς ἄλλαις ἐπιστήμαις προσήκει, πολλῷ μᾶλλον ἀστρολογίᾳ, ἣ τὸ ὀξὺ καὶ εὐσύνετον περὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν ἐν τοῖς θειοτέροις τῶν ὄντων πορίζεται; καὶ ἐναργεστέραις ταῖς ἀποδείξεσι;

ΠΕΡΙ

ἀστρονομίαν οἱ τῶν ἰατρῶν παῖδες, ἄρα οὐδὲ σαφῶς ἐπιστήμην.

Τῆς οὖν ἀστρονομίας γενικῶς λαμβανομένης, εἴδη εἴτ' οὖν μέρη λέγοιτ' ἄν, κοσμογραφία, ἥτις περὶ τὰ καθολικώτερον στρέφεται τοῦ παντὸς μέρη, ἥ τε τὰς κινήσεις καὶ σχήματα τῶν ἀστέρων θεωροῦσα, τῷ γενικῷ ὀνόματι ἀστρονομία προσαγορευομένη. καὶ παρὰ ταύτας ἡ ἀποτελεσματική. ἧς ὅση περὶ τὰ γενέθλια καταγίνεται, καὶ γενεθλιακὴ λέγοιτ' ἄν. ὅση δ' αὖ περὶ τὰς μεταβολὰς τῶν ἀρχόντων, καὶ ἀνδραποδισμοὺς ἐθνῶν, πόλεών τε ἀναστατώσεις, καὶ ὅσα εἰς ἔθνη ὅλα ἀνήκουσι, τοῦτο αὐτὸ ἀποτελεσματικὴ κέκληται. καὶ προσέτι ἡ ἐκ τῶν ἐκλείψεων, ἐπιτολῶν, καὶ καταδύσεων, τῶν ἀστέρων τὰς τοῦ ἀέρος μεταβολὰς σκεπτομένη, κατὰ τούτων ὑετούς, αὐχμούς, πνῖγος, ἀλέας, καταιγίδας, εὐφορίας καρπῶν καὶ ἀφορίας, τό, τε περὶ τὰς ὥρας ὑγιεινὸν καὶ νοσῶδες, καὶ ἄλλα τοιαῦτα προθεωροῦσα. ἐξ ὧν ἡ ἅμα πάντων, ἢ γοῦν ἐνίων ἐπιχειρημάτων ἐστὶν εὐπορῆσαι τὸ ἐπωφελὲς παριστῶντα τῆς περὶ τὴν ἀστρονομίαν ἀσκήσεως. εἰ γὰρ κοσμογραφία μὲν, καὶ ὅση περὶ τὰ γενέθλια θεωρία, καὶ τὰ λοιπὰ τῶν ἀποτελεσμάτων, ἥ τε περὶ τὰ οὐράνια σώματα γνῶσις, οὐχ ὅπως ἐπωφελὴς, ἀλλὰ καὶ θεῖον ὄντως, καὶ ἀνθρωπίνης εὐδαιμονίας τὸ ἔσχατον. πῶς ἡ περὶ τὴν ἀστρολογίαν σπουδὴ οὐκ ἂν εἴη ἐν βίῳ λυσιτελέστατον;

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΚΑΙ ΙΔΙΟΥ.

Τὴν διαφορὰν καὶ τὸ ἴδιον οἱ Ῥήτορες εἰς ἓν ἄγουσι, καὶ ἀναμὶξ περὶ ἀμφοῖν πραγματεύονται. Ἔστι δὲ διαφορά, τὸ ποιοῦν διαφέρειν ἕτερον ἑτέρου. ἧς διπλοῦν ἐστι γένος. τὸ μὲν οὐσιῶδες, ὃ καὶ ἄλλο τι ποιεῖ τῶν λοιπῶν τὸ ᾧ συνέζευκται, καὶ εἰδοποιὸς κέκληται. οἷον τὸ λογικὸν τῷ ἀνθρώπῳ προσκείμενον, ἄλλο τι τοῦτον ποιεῖ τοῦ βοός. ἕτερον δὲ γένος ἐστὶ κατὰ συμβεβηκός, ὅπερ οὐκ ἄλλο τι ποιεῖν πέφυκεν,

συγκατασκευάζονται. οἷον ἀποδειχθέντος ὅτι ἡ ἀρετὴ αἱρετή, καὶ σωφροσύνη καὶ δικαιοσύνη ἀρεταὶ οὖσαι, αἱρεταὶ ἀποδειχθήσονται. ἐπὶ δὲ τοῦ προκειμένου ἐπιχειρεῖν ἐνδέχεται οὕτω. Πᾶσα μὲν ἐπιστήμη λογικοῖς οὖσιν ἀνθρώποις, οὐχ ὅπως καθ' ἕνα, ἀλλὰ καὶ πόλει, καὶ γένει ξύμπαντι λυσιτελέστατος. ἀληθείας γάρ ἐστι μελέτη, ῥώμη βίου, ψυχῆς κόσμος, καλοκἀγαθίας ἄσκησις. διαφερόντως δὲ τῶν ἄλλων ἀστρολογία, ἐφ' ὅσον καὶ τῶν λοιπῶν ἁπάντων διενήνοχε, περί τε τῶν ἀποδείξεων ἀκρίβειαν, καὶ τοῦ ὑποκειμένου περὶ ὑπερέχοντα. Κατὰ ταῦτα δὲ καὶ ἀνασκευαστέον ἐπειδὰν παρεμπίπτοι:

ΠΕΡΙ ΕΙΔΟΥΣ.

Καὶ περὶ μὲν γένους ἀπόχρη τὰ εἰρημένα, διαλεκτικῶν γάρ ἐστιν (ὡς ἔφημεν) θεωρητικώτερον τὸ περὶ τούτων ἀποτείνειν ἔρευναν. Εἶδος δὴ δὲ προσαγορεύεσθαι εἴωθε, τὰ ὑποπίπτοντα τῷ γένει μόρια. ὅσα γὰρ ἐπί τι γένος ἀνάγεται, ταῦτα καθὸ ἀνάγεται εἴδους ἐπέχουσι λόγον, κἂν γένει τελῶσι τοῖς μεθ' αὑτὰ κατὰ πλειόνων τῷ εἴδει κατηγορούμενον. οἷον ἐλαία, εἶδος μὲν τυγχάνει φυτοῦ ὑπ' ἐκεῖνο τελοῦσα. γένος δὲ εἰ τύχῃ κοτίνου, ἀχοιαιλάιου, καλυμβάδος, καὶ τῶν ὁμοίων. οὕτω καὶ ἐπιστήμη, εἶδος μὲν τῆς ἕξεως, γένος δὲ ἀστρολογίας, γεωμετρίας, καὶ τῶν λοιπῶν. Ἀπὸ γοῦν τοῦ εἴδους ἐπὶ τὸ γένος ὅσοι καταφατικῶς ἐπιχειροῦσι, πάντως ἀληθεύουσιν. οἷον ὀλύμπια νενίκηκεν, ἄρα στεφανίτην ἀγῶνα· εἶδος γὰρ τὰ ὀλύμπια τοῦ ἀγῶνος. ἐπειδὴ καὶ ἴσθμια, καὶ πύθια, ἀγῶνές εἰσι στεφανῖται. καὶ οὕτω κἀπὶ τοῦ παρόντος. ἀστρονομία ἐστὶν ἄρα ἐπιστήμη. Ἀποφατικῶς δέ, εἴ τις ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος ἐπιχειρῶν καθολικόν τι συναγαγεῖν πειραθείη, οὐκ ἄν ποτε ἀληθεύσοι. οὐ γὰρ ὅτι μὴ ἄνθρωπος, τοῦτο οὐδὲ ζῶον, οὐδ' ὅτι μὴ ἀστρονομία τοῦτο οὐδ' ἐπιστήμη. κατὰ μέρος μέντοι, οἷον οὐκ ἀσκοῦνται τὰ περὶ τὴν

δράκοντος νόμους ἐκφαυλίζων, οὐκ ἀνθρώπου, ἀλλὰ δράκοντος ἐπικαλεῖ. χαλεπὸν γάρ. ἐπιτήδειος δὲ ὁ τόπος εἰς ψυχολογίαν τοῖς κατηγόροις κεχρημένοις:

ΠΕΡΙ ΓΕΝΟΥΣ.

Διαλεκτικοὶ μὲν, καὶ ὅσοι τῆς φιλοσόφου στρατείας βαθυτέραν εἰώθασι τὴν περὶ γένους, εἴδους, καὶ τῶν λοιπῶν καθόλου φωνῶν θεωρίαν ποιεῖσθαι. ἀκριβέστερον γὰρ ἐρευνῶσι περὶ τούτων, ἢ τῶν ὑφεστηκότων εἰσὶν, ἢ ψιλῇ καὶ μόνῃ τῇ ἐπινοίᾳ τὴν ὕπαρξιν ἔχει. καὶ εἰ τῶν ὑφεστηκότων τυγχάνει, πότερον σώματά εἰσιν, ἢ ἀσώματα. καὶ τούτων αὖ, ἢ καθ' ἑαυτὰ καὶ ἐκτὸς τῆς ὕλης, ἢ ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις ὑπάρχει. κατηγορίας αὐτῶν τούτων ἀναπτύσσοντες, χρήσεις τε καὶ ὁρισμοὺς ἀναθεωροῦντες, καὶ πᾶν ὁτιοῦν εἰς τελεωτέραν περὶ τούτων πραγματείαν πολυπραγμόνως ἀνακρίνουσιν.

Οἱ δὲ Ῥήτορες ὑπτιώτερόν πως περὶ αὐτῶν διαλαμβάνουσι πρὸς τὴν τῶν ἀκροατῶν εὐμάθειαν διαφερόντως μάλα ἀφορῶντες, ἢ πρὸς τὴν τῶν ὄντων ἀλήθειαν. ἐφ' ὅτῳ δὴ καὶ τῶν συντιθέντων τὰς τῶν λόγων τέχνας, οὐδεὶς περὶ τούτων διακεκριμένως φαίνεται πραγματευσάμενος. τοῖς μέντοι ἀπὸ τούτων ἐπιχειρήμασι, συχνοῖς μάλα ἐστὶν ἐντυχεῖν παρά τε Ποιηταῖς τε καὶ Ῥήτορσιν. ἐκ γὰρ τῶν μέχρι τοῦ δεῦρο ἐκτεθειμένων τόπων, σπανίως ἐστὶν ἰδεῖν ἐπιχειροῦντας τοὺς Ῥήτορας. ἔστι τοιγαροῦν ὑπογράψαι τοιῶσδε τὸ γένος.

Γένος ἐστὶ τὸ ἐπὶ πολλὰ ἐκτεινόμενον εἴδη. ἢ ᾧ πολλὰ ὑποπίπτει εἴδη. οἷον εἰ δένδρον εἴπῃς, καὶ δρῦν, καὶ πλάτανον, καὶ ἐλαίαν συμπεριείληφας. εἰ δὲ ἐπιστήμην φαίης, καὶ γεωμετρίαν, καὶ ἀστρονομίαν, φυσικήν τε, καὶ μεταφυσικὴν ἐδήλωσας. καὶ τἄλλα ὡσαύτως. Ἔστι δ' ὁ τόπος εἰς ἀνασκευὴν καὶ κατασκευὴν χρήσιμος. ἀναιρουμένου γὰρ τοῦ γένους, συναναιρεῖται καὶ τὰ ὑφ' αὐτὸ πάντα. κατασκευαζομένου δὲ, κἀκεῖνα

συγκα-

τοῦ πράγματος. οἷον εὔψυχος, ὁ εὖ τὴν ψυχὴν ἔχων. καὶ ἀστρολογία, ἡ τῶν ἄστρων σκεπτομένη τοὺς λόγους. ἐξ ἐτυμολογίας τοιγαροῦν εἰς ἀνασκευὴν τε καὶ κατασκευὴν τῶν ζητουμένων ἐπιχειρημάτων ἐστὶν εὐπορῆσαι ἂν (ὥς φησιν Ἀριστοτέλης) τὰ ὀνόματα ἐπὶ τὸν λόγον μετενεγκόντες, τοῦτον δείξομεν ἐφαρμόττοντα, οἷς ἂν ἡμῖν πρόκειται, κἂν μὴ δοκῇ τοὔνομα. οἷον εὔψυχος μὲν ἰδιάζεται τῷ ἀνδρείῳ. εἰ γοῦν βουλόμεθα, καὶ τὸν ὁντιναοῦν ἀρετὴν κεκτημένον εὔψυχον ἀποδεῖξαι, μεταληψόμεθα τοὔνομα εἰς τὸν λόγον, ὅς τις ἐστὶν ὡς εἴρηται, ὁ εὖ τὴν ψυχὴν ἔχων. εἶθ' οὕτω καὶ δικαίῳ καὶ σώφρονι, καὶ ἁπλῶς πᾶσι τοῖς ἁμηγέπη τὴν ψυχὴν διά τινος τῶν ἀρετῶν εὖ διατεθειμένοις ἐφαρμόττον τὸ πρόσρημα δείξαιμεν. ἢ ἐπὶ τοῦ προτεθέντος. εἰ βουλόμεθα τὴν ἀστρολογίαν ἀδιαμάρτητον ἐμφῆναι περὶ τὴν τῶν ἀστέρων θεωρίαν, ἐροῦμεν μεταλαβόντες πρότερον τὴν λέξιν εἰς τοιόνδε λόγον. Ἀστρολογία ἐπιστήμην δηλοῖ καταληπτικὴν τῶν περὶ τοὺς ἀστέρας λόγων. ὁ τὸν λόγον πνὸς ἔχων, οὐκ ἄν ποτε διαμάρτοι· οὗτος γὰρ τὸν λόγον ἔχει. ἀλλὰ μὴν ἡ ἀστρολογία ἔχει τῶν ἀστέρων τοὺς λόγους ὧν ἐστὶ καταληπτική. οὐκ ἄρα ἡ ἀστρολογία μέχρις οὗ μένει τοιαύτη διαμάρτοι περὶ τὴν τῶν ἀστέρων θεωρίαν. Ὅτι δὲ ἡ ἀστρολογία καταληπτικὴ τῶν περὶ τοὺς ἀστέρας λόγων, τοῦτο τῇ τῶν ὁμοίων παραθέσει ἐμπεδώσομεν. καὶ γὰρ φυσιολογία ἐστὶν, ἡ τοὺς τῆς φύσεως λόγους ἔχουσα. καὶ θεολογία, ἡ τοὺς περὶ θεοῦ καὶ τὰ ὅμοια: Ἔστι δὲ καὶ ἄλλως ἐξ ἐτυμολογίας ἐπιχειρημάτων εὐπορῆσαι, ἤγουν οἰκείως καὶ καταλλήλως ταῖς τῶν προσώπων ἐνεργείαις κεῖσθαι διερμηνεύσωμεν. τὰ ὀνόματα τὰ ἐφ' ἑτέρας μὴ μεταφέροντες, μήτε συλλογιζόμενοι. ὃ καὶ φερωνυμία ἰδιαίτερον προσηγόρευται. ὃ καὶ μᾶλλον ἐπιπολάζον ἐστὶν ἰδεῖν παρά τε Ῥητόρων καὶ Ποιητῶν τοῖς συγγράμμασιν, ὡς τὸ τοῦ Ἡροδίκου παρ' Ἀριστοτέλει. ὅς τοὺς

δρά-

τῶν τῶν συμβεβηκότων, πολυειδῆ τὴν λῆψιν ἔλαχεν. ἔστι γὰρ ὑποτυποῦταί τε καὶ διαγράψαι τὸ προβληθέν. Ἡ ἀπὸ τοῦ ποιητικοῦ αἰτίου, ὡς ὁ Πλάτων ἐν ὅροις. Ἡμέρα ἐστὶν, ἡλίου πορεία ἀπὸ ἀνατολῶν εἰς δυσμάς. Ἡ ἐκ τῆς ὕλης καὶ ὧν σύγκειται μερῶν. οἷον οἰκία ἐστὶν, ἥπερ ἐκ θεμελίου συνέστηκε, καὶ τοίχων, καὶ στέγης. Ἡ ἐκ τοῦ τέλους ἤτοι ἀποτελέσματος. ὡς ἐπὶ τοῦ προτεθέντος. Ἀστρολογία ἐστὶν, ἡ ἐθίζουσα τὴν ψυχὴν εἰς τὸ ἄνω ὁρᾶν, καὶ ἀπὸ ἐνθένδε ἐκεῖθεν μετάγουσα. ὁμοίως καὶ ἐκ τῶν λοιπῶν συμβεβηκότων. ὡς ἐπὶ τοῦ ἀνθρώπου. Ἄνθρωπος ἐστὶ ζῶον ὀρθοπεριπατητικὸν, ὄρθιον, πλατυόνυχον, χερσὶ χρώμενον, καὶ τὰ ὅμοια: Ἐστὶ δ' ὅτε καὶ μεταφοραῖς ἤτοι ὁμοιώσεσι τὴν οὐσίαν ἐμφαίνομεν. οἷον. ἄρχων ἐστὶν ὁ πιστευθεὶς τοὺς οἴακας τοῦ σκάφους τῆς πόλεως. Χρώμεθα δὲ τῇ ὑπογραφῇ πρός τε τὸ ἀνασκευάζειν καὶ κατασκευάζειν κατὰ ταῦτα τῷ ὁρισμῷ, ἐπεὶ καὶ ὁρισμὸς ἐστὶν ὡς εἴρηται. καὶ γὰρ ἐλλειπής. οἷον ἐπὶ τοῦ προτεθέντος οὑτωσίπως ἐπιχειρεῖν ἐνδέχεται. Οἶμαι δὲ πάντες ἂν ὁμολογήσαιμεν ἐκείνην εἶναι τῶν ἐπιστημῶν τὴν καλλίστην καὶ τελεωτάτην, ἥπερ ὡς ἐφικτὸν ἀνθρώπῳ τῶν χαμαιρπετῶν τούτων καὶ ἐπικήρων τὴν ψυχὴν ἀνασπῶσα, τὰ θεῖά τε καὶ ἀκήρατα ἐποπτεύειν κατασκευάζει, καὶ διὰ τῆς θέας τῆς ἐκείνων συνάπτει κάλλεσιν ὧν ἀμυδρᾷ τινι φαντασίᾳ ἐν περινοίᾳ τινὸς γενέσθαι πασῶν τῶν περὶ τὰ καθ' ἡμᾶς ἀποδείξεων κρείττων νομίζεται. ἀμέλει τοῦτο διαφερόντως ἀστρολογία ἐργάζεσθαι πέφυκεν. ἥτις ἐστὶν ἡ μάλιστα τοὺς κεκλημένους, καὶ τὰ ἑξῆς.

ΠΕΡΙ ΕΤΟΙΜΟΛΟΓΙΑΣ.

Ἐτοιμολογία, ἥτις καὶ φερωνυμία λέγοιτ' ἂν καὶ ἔτυμον, μετάληψις ἐστὶ τοῦ ὀνόματος εἰς λόγον ἑρμηνευτικὸν τῶν ἐξ ὧν σύγκειται μερῶν, ἢ ὅθεν παρῆκται, ἢ (ὥς φησιν Εὐστάθιος) λόγος ἐπαληθίζουσαν δεικνὺς τὴν λέξιν τῇ φύσει

τοῦ

στερεώσαντος. Θεῖον τῷ ὄντι καὶ παντὸς ἐπέκεινα θαύματος τὸ περικαλλὲς τουτὶ καὶ ποικίλον ὑπὲρ κεφαλῆς θέαμα. εἱλουμένῳ μὲν ἐν κύκλῳ τῆς γῆς, καὶ περὶ αὐτὴν διηνεκῶς ἑλιττόμενον, οἱονεὶ λίθοις εὐανθέσι κεκοσμημένον τοῖς ἄστρασιν, ἡλίῳ σελήνῃ εἰς τὸ διηνεκὲς καταυγαζόμενον. ὃ καὶ ὁρᾶν μὲν ἔκπληξις, καὶ μὴ ὁρᾶν ἐσχάτη δυσπραγία νομίζεται. ἐπὶ τούτου εἴ τις ἡμᾶς ἀναγαγὼν ξεναγήσῃ χορείας ἄστρων καὶ δρόμους, αὐγάς τε καὶ ἀνατολὰς ἡλίου καὶ σελήνης ὑποδείξας, πόσου ἂν ἐπιμησαίμεθα; τοιοῦτον τυγχάνει ἡ ἀστρολογία. ὥσπερ οἷόν τινι ὀξυωπεῖ φαρμάκῳ ταῖς γεωμετρικαῖς ἀποδείξεσι τῆς ἐπιχρισθεῖσα τῇ διανοίᾳ ἀχλὺν ἀνεκκαθαίρουσα, ὀξυδερκῆ πρὸς τὴν τῶν ἀκηράτων ἐκείνων σωμάτων θέαν παρασκευάσει. Εἶτα ἐπαγαγόντες καθ' ἕνα τὰ τοῦ ὁρισμοῦ μέρη, ῥητορικώτερον ἑρμηνεύσομεν. Εἰ δέ ποτε καὶ ἀνασκευάσαι βουλώμεθα τὸν ὁρισμὸν, σκεπτέον εἴ τις ἐν αὐτῷ εἴληπται λέξις ὁμώνυμος, ἢ ἐκ μεταφορᾶς. ἢ ἀσυνήθης καὶ καταχρηστικῶς. ἢ ἂν περιττόν τι πρόσκειται καὶ περίεργον· οὗ ἀφαιρεθέντος, τοῖς καταλειπομένοις δηλοῦται ἡ οὐσία τοῦ ὁριστοῦ, εἴ τι παρειμένον ἢ παρηλλαγμένον ἦ, οὗ ἄνευ, ἐλλειπὴς ὁ ὅρος καὶ ἀσαφής :. Ἐκ τούτων οὖν καὶ τῶν ὁμοίων πειρατέον ἀνασκευάζειν τοὺς ὁρισμοὺς, ὥσπερ καὶ κατασκευάζειν ἐκ τῶν ἐναντίων. Ἔστι δὲ πολιτικωτέρα μέθοδος εἰς αὔξησιν καὶ ἐπίδοσιν τοῦ ὅρου, ἣν εἰσηγεῖται Ἑρμογένης ἐν τῷ περὶ ὅρου. αὕτη γὰρ διαλεκτικὴ μᾶλλον καὶ Φιλοσόφοις προσήκουσα, ὅμως οὐδὲ Ῥήτορσιν ἀνοίκειος, καίτοι ἐκείνοις ἐκφερομένη.

ΠΕΡΙ ΥΠΟΓΡΑΦΗΣ.

Ὑπογραφὴ ὅρος ἐστὶν ἀτελὴς, καὶ ὅσον πεπειραμένος τὸ τί ἐστιν ἤτοι τοῦ ὑποκειμένου οὐσίαν κατά τινα τυπώδη τῇ τῶν συμβεβηκότων περιγραφῇ, ἐπαγγελλόμενος ὡς ἥπερ ὑπογραφή. οὐδὲ μονοειδὴς ἐστὶ καὶ ἁπλῆ, ἀλλὰ πολλῶν ὄν-

των

ζον. ἐναντίον. ἀντικείμενον. στερητικόν. ἀξίωσις. εἶτ' συμμαρτυρία.

ΠΕΡΙ ΟΡΟΥ.

Τῶν οὐσιωδῶν τόπων οὐκ ἀπεικότως ὁ ὅρος τὴν πρώτην εἴληχε τάξιν, ἐπεὶ καὶ αὐτῆς τῆς τοῦ ὑποκειμένου πράγματος οὐσίας ἐστὶ λόγος συντετμημένος ὡς ἔνι τὰ μάλιστα καὶ ἀριδήλως ἐμφαντικός. Δεῖ δὲ τὰ ἐν ὁρισμῷ παραλαμβανόμενα, οὐσιώδη τε εἶναι, καὶ πρότερα τῇ φύσει, καὶ γνωριμώτερα. ἐκεῖνο μὲν, ὅτι τῆς οὐσίας τυγχάνει δηλωτικά. τοῦτο δ' αὖ, ὅτι καὶ δηλωτικά. τοιαῦτα δὲ εἰσὶ τά τε γένη καὶ αἱ διαφοραί. ὧν τὸ μὲν γένος καθολικώτερον ὄν, καὶ ἐπὶ πλέον ἐπεκτεινόμενον, ἡ διαφορὰ ἐπελθοῦσα συσφίγγει τε καὶ συμπιέζει, καὶ τῷ ὁριστῷ ἰσόστροφον ἀποκαθίστησιν. οἷον ἐπὶ τοῦ προβληθέντος ζητήματος. Ἀστρολογία (εἴ τις φαίη) ἕξις ἐστὶ θεωρητική. ἀληθεύσεις μὲν, οὔπω δὲ καὶ τὴν οὐσίαν ἐκείνης διακεκριμένως δηλώσεις. κοινὸν γὰρ τουτὶ καὶ ἐπὶ πάσας ἐπεκτεινόμενον τὰς ἐπιστήμας. ἂν δ' ἐπαγάγῃ, περί τε τὰς ἐποχὰς καὶ φορὰς τῶν οὐρανίων σωμάτων στρεφομένη, καὶ τὰ ἐν τοῖς καθ' ἡμᾶς ἐκ τούτων ἀποτελούμενα, τὴν ἀστρολογίαν ὁλοκλήρως ἀφορίσας ἔσται, καὶ διακρίνας παντὸς ἄλλου, πρὸς ὃ μηδαμῶς πρότερον ἀντιδιεστέλλετο. Θαυμάσιον δέ τι χρῆμα ἡγεῖται Ἑρμογένης τὴν τέχνην, ἣν αὐτὸς ἐπινενοηκέναι φησὶ πρὸς ἀνασκευήν τε καὶ κατασκευὴν τὴν περὶ τοὺς ὅρους. ἥ γάρ ἐστιν ἐκ τῶν παρεπομένων καὶ εἰωθότων συμβαίνειν τοῖς πράγμασι, τοὺς ὅρους ἀνασκευάζειν τε καὶ κατασκευάζειν. ἀλλ' ἐκεῖνος μὲν τοῖς δικαζομένοις ἰδιαίτερον. καὶ μάλιστα ἐπειδὰν περὶ τὸν ὅρον συσταίη ἡ ἀμφισβήτησις: Τοῖς δὲ δημηγοροῦσι τε καὶ πανηγυρίζουσιν οὐ πάνυ εὔχρηστος. οὗτοι γὰρ ὡς ἀρχὴν τὸν ὅρον λαμβάνοντες ἐκ πρώτου πειρῶνται συναγαγεῖν τὸ ἀμφισβητούμενον. καὶ τὸ ὑπόδειγμα ἔσω ἐπὶ τοῦ παρόντος. ὃ καὶ κατὰ Ῥήτορας ἐνθησόμεθα, μικρὰ τῆς τῶν διαλεκτικῶν ἀκριβολογίας

ὑπὸ τὴν ποιότητα. ὑποτίθεται γὰρ ἐνταῦθα ἥ τε ὕπαρξις τῆς ἀστρολογίας, καὶ τὸ τί ἐστιν. ἀμφισβητεῖται δὲ εἰ ἐπωφελές. Ἔστι δὲ λογικὴ ἡ στάσις, καὶ περὶ μέλλοντος οὖσα πράγματος. ὅθεν καὶ εἰς γένος ἀναφέρεται τὸ συμβουλευτικόν. προτρέπειν γὰρ ἐνταῦθα ὁ προβαλλόμενος ταῦτα, πείθειν ἀστρονομίας ἀντιποιεῖσθαι. ἔστι δέ πως καὶ λεληθότως ἐγκώμιον. ἐφ' ἃ γὰρ προτρεπόμεθα, ταῦτα τῶν ἀγαθῶν εἶναι καὶ ἐπαινουμένων ὑποτιθέμεθα: Ταῦτα οὖν ἱκανῶς προαντεθεωρηκότες, λοιπὸν εἰς τὴν τῶν ἐπιχειρημάτων ὕλην (ἣν καὶ στοιχεῖα τε καὶ τόπους τῷ Ἀριστοτέλει καλεῖν σύνηθες) τὴν μετάβασιν ποιησώμεθα. ὅθεν ἂν οἷοί τε ὦμεν ἐνθυμημάτων ἀπορῆσαι εἰς τὴν τοῦ ὑποκειμένου σύστασίν τε καὶ διατράνωσιν:

Οἱ γοῦν τόποι κατὰ πρώτην ἐπιβολὴν γενικῶς δίχα τέμνονται. εἴς τε τοὺς ἀτέχνους, καὶ ἐντέχνους, ὡς καὶ ἀνωτέρω δεδήλωται. ὧν θάτερον μέρος καὶ λόγων μακροτέρων καὶ κατασκευῆς τῆς παρὰ τοῦ Ῥήτορος ἀπροσδεής ἐστιν. μόνην ὅσον ἐς χρῆσιν καὶ ἀπαγγελίαν ἀνήκει. θάτερον δὲ τέχνης δεῖται, ἐπειδήπερ καὶ ἔντεχνον. ὃ καὶ τριμερῆ τὴν διαίρεσιν εἴληχεν. ὅσοι γάρ τι οὐσιῶδες δηλοῦσι τοῦ ὑποκειμένου περὶ οὗ ἡ ζήτησις, οὐσιώδεις εἰκότως ἂν κληθεῖεν. ὅσοι δέ τινος τῶν περὶ τὴν οὐσίαν εἰσὶ δηλωτικοί, πάντας ἐπουσιώδεις. οἱ δ' αὖ ἐκτός τε μὲν ἐνηνεγμένοι, κοινοὶ λέγοιντ' ἂν ὡς πᾶσι κατὰ ταῦτα ἐφαρμόττοντες. Οὐσιώδεις μὲν οὖν ἂν εἶεν· ὅρος. ὑπογραφή. ἐτυμολογία. συστοιχεῖα. γένος. εἶδος. διαφορά. οἷς συναριθμείσθω καὶ τὸ ἴδιον. Ἐπουσιώδεις δέ, ὅσοι τῷ ζητουμένῳ παρέπονται, καίπερ τῆς οὐσίας ἐκείνου εἰσὶν ἀλλότριοι. τοιοῦτοι δὲ εἰσίν· αἰτία. ἐνέργεια, ἤτοι ἀποτέλεσμα. τρόπος. πρόσωπον. τόπος. χρόνος. καὶ εἴ τι τούτοις παρεμφερές. Ἔκτοθεν δὲ οὓς καὶ κοινοὺς προσαγορευτέον ἔφαμεν, εἰσὶν οὗτοι· ὅμοιον. ἀνόμοιον. ἴσον. ἔλαττον. μεῖ-

ζον·

γὰρ ποιότητα ἔλαχε τὰ περιστατικά, οἷά εἰσιν ὅσα ἐξ ὡρισμένων σύγκειται καὶ κυρίων ὀνομάτων· ὧν γένος, καὶ ἀγωγὴ, καὶ πατρίδα, πράξεις τε, ἐπιτηδεύματα, ἢ ἀκοῇ ἴσμεν, ἢ ἐξ ἱστορίας παρειλήφαμεν. ἃ καὶ ἀφθονωτέραν μηνύεται τὴν τῶν ἐνθυμημάτων εὐπορίαν, ὡς πάσαν ἐν ἑαυτοῖς συλλαβόντα ὕλην τε καὶ ποιότητα. κοινὴν δὲ κέκτηται τὴν ποιότητα, ὅσα ἀπερίστατα, ἃ καὶ τοῖς γραμματευομένοις προσηγορικὰ κέκληται· οἷον πατὴρ, υἱὸς, μοιχὸς, ῥήτωρ, καὶ τὰ ὅμοια. ὧν καὶ οἱ τῶν ἐπιχειρημάτων τόποι, οὐχ ὅτι καὶ δῆλοι, ἀλλὰ καὶ κοινοὶ τυγχάνουσι τῶν ὁμοταγῶν. ταὐτὰ γὰρ ἐνθυμήματα ἐπὶ πάντων ἁρμόττει τῶν ὁμοίων προσώπων. μεθ' ὃ ζητητέον τῶν στάσεων, ἐφ' ἣν τὸ προβληθὲν ἀναφέρεται ζήτημα. περὶ ὧν ὅσον ἐγχωρεῖ νῦν· ἐν τῷ συντόμῳ τῆς πραγματείας ἐν τῇ προθεωρίᾳ εἴρηται, καὶ παρ' Ἑρμογένει ἀποχρῶσαν πεποιήκαμεν τὴν διάσκεψιν. καὶ τελευταῖον ἐς πάντα τὴν τεσσάρων ἐκείνων τοῦ λόγου γενικῶν τελικῶν βάσεων διορίζομεν. ὧν ἁπάντων ἡ θεωρία περιλαμβανομένη, τὴν τῶν ἐπιχειρημάτων εὕρεσιν εὐοδωτέραν παρέχοι ἂν, καὶ ἐς σαφεστέραν τὴν εἰρημένων διάγνωσιν. οὐκ ἔξω σκοποῦ τὸν λόγον ἐφ' ὑποδείγματος γυμνάσαι. Κείσθω δὲ ἡμῖν τὸ ζητούμενον ἐπὶ τοῦ παρόντος, πότερον ἐπωφελὴς ἡ περὶ τὴν ἀστρονομίαν σχολὴ, ἢ οὔ. ἐκ τῆς τῶν λέξεων σημασίαν ἀνερευνήσαντες εὑρίσκομεν, τὴν μὲν ἐπωφελὲς σημαίνουσαν παντοίως ἐς εὐπόρησίν τινος ἀγαθοῦ συμβαλλόμενον. τὴν δὲ ἀστρονομίαν ἐπιστήμην περὶ τοὺς ἀστέρας, σχολὴν δὴ δεῖν, ὅτε μὲν ἀργίαν σημαίνει, νῦν δὲ τὴν περί τι σπουδὴν καὶ διατριβήν. τούτων δ' ἐγνωσθέντων τὴν τῶν ὀνομάτων ποιότητα διασκεπτομένη κοινὴ ἀναφαίνεται. οὔτε γὰρ ἐνταῦθα τὸ τινὶ ἢ κατά τι ἐπωφελὲς ζητεῖται, οὐδὲ εἴ τις ἀστρολογία, ἀλλ' ἁπλῶς καὶ τῶν περιστατικῶν ἐξῃρημένη. σκεπτόμενον δ' αὖ ὁρῶμεν τὸ πρόβλημα τῶν ἀνωτάτω ἐκείνων ζητήσεων

καὶ μὴ ἧσσον ἂν τοῦ ἀντιδίκου καθάψαιντο, εἴ τι μὴ ὀρθῶς ἀφηγήσατο: Ἡ δημηγορία δὲ καθ' αὑτὴν ἀπροσδεὴς ἐστὶ διηγήσεως (ὥς φησιν Ἀριστοτέλης) ἅτε δὴ περὶ τῶν μελλόντων ποιουμένη τοὺς λόγους, ἔνθα ἡ διήγησις παρῳχηκότων ὑπάρχει ἀνάπτυξις. παραδείγματος δὲ ἕνεκα καὶ τὰ προγεγενημένα πολλάκις ἀνιστορεῖ ὁ δημηγορῶν, ὡς ἂν ἐκείνων μνησθέντες οἱ ἐκκλησιασταί, ἀσφαλέστερον περὶ τῶν εἰς ἔπειτα ποιήσαιντο τὴν διάσκεψιν:

ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

Ἀλλ' εἴπερ οἶκον δομήσοντες προπύλαιά τε καὶ προαύλια, καὶ τὰ πέριξ αὐλῆς διαπρεπῶς ἀνεγείραντες, γραφῇ τε καὶ πλαξὶ ἠνθισμέναις μαρμάρων εἰς κάλλος ἀπεφαιδρυνόμεθα, εἴ που θαλάμους τε καὶ ἀνδρῶνας, διαπρεπέστερον ἐκοσμοῦμέν τε καὶ εἰς ὕψος ἠγείρομεν, εἰ μὴ παρὰ τοῖς ὁρῶσι κατὰ τὴν ἀπειροκαλλίας φυγεῖν ἐμέλλομεν. φέρε δὴ κατὰ τὸ παρὸν τοῦ ἐπεὶ μὲν ὅτε τὴν τοῦ λόγου προθύρων κόσμος ἅλις ἔχειν δοκεῖ, τότε τὰ πέριξ αὐλῆς κατὰ τὸ ἐγχωροῦν διήνυσταί τε καὶ ἀπηκρίβωται. ἐπ' αὐτὴν ἤδη χωρῶμεν τὴν τοῦ λόγου παστάδα, τὴν πίστιν φημὶ ἣν τὰ λοιπὰ φιλεργεῖται; καὶ ἧς ἕνεκα λόγου ἐν λόγῳ ἠξίωται. εἰ γὰρ τοῦ πιθανοῦ ὁ Ῥήτωρ ἐν πᾶσιν ἐστὶ θηρευτικὸς, ἡ πίστις ἀντὶ πάντων ἐκείνῳ ἔστω, ἐπεὶ τούτου ἐστὶ κυριώτατον ἁπάντων ἡ πίστις, ἐπιχείρημα οὖσα τοῦ ζητουμένου ἀπεργάζον ἐπὶ θάτερον πιθανότητα.

Τοιγαροῦν πρὸ πάντων ἐφ' ὁποσοῦν προβληθέντος ζητήματος τὴν σημασίαν ἐπιγνῶναι δέον ἑκάστης τῶν λέξεων, δι' ὧν ἐκφέρεται τὰ ζητούμενα. ἧς ἕνεκα εἰς τὸ ἀκριβὲς κατάληψιν, ἡ ἀκριβὴς κρηπὶς τοῦ ὅλου λόγου προκαταβλητέον. ταύτης δὲ ἐγνωσμένης, τὴν τῶν ὀνομάτων κοινότητα, πότερον ἰδία ἐστὶν ἢ κοινὴ, καταθεωρήσωμεν. τοῦτο δὲ εἰπεῖν γένος παρασυμβατικόν ἐστι τὸ προβληθὲν, ἐκ τῶν ἀπηρτημένων ἴδιον τῶν

γὰρ

ΕΝ ΤΙΣΙ ΤΩΝ ΛΟΓΩΝ ΑΝΑΓΚΑΙΑ ἐστὶν ἡ διήγησις, ἐν οἷς δεῖ διηγεῖσθαι, καὶ ὡς:

Οὐ παντὶ μέντοι τῶν λόγων εἴδει τὸ ἀναγκαῖον ἐστὶν ἡ διήγησις, ἀλλ' ἔστιν ἃ καὶ ταύτην παντάπασιν ἀποποιεῖται. καὶ οὐδὲ ἐν οἷς ἐνδεῖ διηγήσεως ἐφ' ἑκάστου τῶν κατὰ μέρος, ἐν τούτοις παραβαλλόμενόν ἐστιν ἀναγκαῖα, αὐτίκα ἐπὶ τοῖς κατ' ἐπίδειξιν ἐφ' οἷς μᾶλλον δοκεῖ τῶν ἄλλων ἐμφιλοχωρεῖν ἡ διήγησις, ἐπειδὰν αἱ πράξεις γνώριμοι ὦσιν. οἷον αἱ τοῦ Ἀχιλλέως, ἢ Αἴαντος, περιττὸν πάντως ἡ ἔκφρασις. δεῖ γὰρ τηνικαῦτα ἐπαγαγόντα ταύτας αὐξῆσαί τε καὶ ἐμπαιδῶσαι τὸν ῥήτορα, οὐ μὴν διατείβειν παρεισκυκλοῦντα καὶ παλιλλογοῦντα, ἃ τοῖς κουρεῦσιν (ὅ φασὶ) δῆλα. τοῦτο γὰρ πρὸς τῷ περιέργῳ, καὶ ἀποκναίει τοὺς ἐπαΐοντας διὰ τὸν κόρον. ἐν οἷς δὲ οὐδὲν ἢ πάνυ ὀλίγα περὶ τοῦ ἐγκωμιαζομένου ἴσασιν οἱ ἀκροαταὶ, καὶ τούτων ὀλίγοι διηγητέον μὲν, οὐ μὴν πάντα ἐφεξῆς καὶ ἀδιακόπως κατὰ συνέχειαν. δυσπαρακολούθητον γὰρ τὸ τοιοῦτον, καὶ πλάνην ἐμποιεῖ τοῖς ἀκούουσιν ἐν καιρῷ τῶν αὐξήσεων. ἀλλ' ἕκαστον τῶν τοῦ ἐπαινουμένου προτερημάτων, καὶ τῷ λόγῳ χρησίμῳ καθ' αὑτὸ ἐμφραστέον, ἰδίᾳ καὶ ἐπαυξητέον, οἷς ἐν τοῖς περὶ πίστεως κεφαλαίοις ἐροῦμεν, οὐ περιαπτέντος ὡς ἐξ ὑπαρχῆς τὴν μετάβασιν ἐφ' ἕτερον ποιητέον.

ΠΕΡΙ ΔΙΚΑΝΙΚΟΥ ΕΙΔΟΥΣ.

Ἐπὶ τοῦ δικανικοῦ δὲ, τοῖς μὲν κατηγοροῦσι πάρεργον ἐστὶν ἡ διήγησις, ἐγκατάσκευος μέντοι ὡς τὰ πολλὰ καὶ μετὰ δριμύτητος ἐκφερομένη. οἱ δὲ ἀπολογούμενοι μόλις μὲν ἅπτονται διηγήσεως, ἐπειδ' ἂν δὲ καὶ ἅψαιντο, καὶ συντετμημένως μάλιστα τοῦτο μετίασιν.

,, ἅπαξ ἀπολειφθὲν, οὐκ ἔνι λοιπὸν ἀνακαλέσασθαι τὴν
,, παρθενίαν.

ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ ΚΑΙ ΑΚΜΗΣ ἐν ταῖς διηγήσεσι.

Ὁπηνίκα δ' ἂν ἡμῖν ἀκμαίως καὶ μετὰ γοργότητος ἀφηγήσασθαι βουλομένοις εἴη, αὐτό τε τὸ πρᾶγμα καὶ τὴν περὶ τοῦ πράγματος ἀξίωσιν, καὶ προσέτι τὴν ταύτης αἰτίαν ποικίλοις τοῖς σχήμασι καὶ διαφόροις τοῖς κώλοις ἑρμηνευτέον. ὅπερ εὐστόχως τῷ Ἑρμογένει παρατετήρηται ἐν τῷ περὶ διηγήσεως. οἷον ἐπὶ τοῦ ἐκτεθέντος προβλήματος. (Ἐκ τοῦ πράγματος) Ὀφθαλμοῖς ἀδίκοις αὐτὴν εἶδε, καὶ ἰδὼν εἷλε, καὶ ἄλλας πεῖραν προσῆγεν, ἀλλὰ διημαρτεχεῖται προσαγωγείαις, καὶ δῶρα, τὰ μὲν πέμπει, τὰ δὲ ὑπισχνεῖται, ἀλλ' ἀποκρούεται. καταφεύγει λοιπὸν ἐπὶ τὴν βίαν, μακρὰν χαίρειν φράσας τὸ πείθειν, καὶ χεῖρας ἐπιφέρει παρθένοις, ἐφ' ἣν ὀφθαλμοὺς πρότερον. καὶ ἡ μὲν δυσφορεῖ, ἀνιᾶται, ἀντιβολεῖ, δακρύει, ἀμύσσει τὰς παρειάς, ἀλλ' ἀνύει οὐδὲν οὐδαμῶς ἐλεουμένη. (Ἐκ τῆς ἀξιώσεως)

Τίς οὕτω θρασὺς καὶ ἀτέγκτος, ὃς οὐκ ἂν δυσαχθήσειε τοῖς πεπραγμένοις, μὴ ὅτι πατὴρ ὢν τῆς ταῦτα παθούσης, ἀλλὰ καὶ τῶν τυχόντων εἷς; ἀλλὰ καὶ αὐτὸς ὁ ἀντίδικος. τίς οὖν μισήσειε τὸ ἀσελγὲς καὶ ἐπίβουλον τοῦ ταῦτα τολμήσαντος; τίς οὐκ ἂν συναγωνίσειε τῇ παρθένῳ, καὶ εἰς ἄμυναν διαναστάίη δίκην εἰσπράξων παρ' αὐτοῦ τὴν προσήκουσαν; (Ἐκ τῆς αἰτίας τῆς ἀξιώσεως) Δι' ὃν σωφροσύνη φρούδη. δι' ὃν παρθένος οὐκ ἔτι παρθένος. δι' ὃν ἀνετράπησαν νόμοι, καὶ θεσμοὶ θνητῶν διελύθησαν. ποία γὰρ ἐν ἀνθρώποις τοῦ λοιποῦ πίστις, εἴπερ ἐν συγγενέσι σκαιωρεῖται τοιαῦτα; τίς δὲ τῶν νέων εἰς τοὐπιὸν σωφρονεῖν ἕλοιτο, ἂν ὁ τοῦ Ποσειδῶνος ἀσελγαίνων, οὐκ ἐν δίκῃ κολάζεται;

θεῶν, μὴ ὅπῃ Ἄρει, τῷ καὶ ἄλλοις ὑβριζομένοις ἀμύνειν λαχόντι. (Ἐκ τῶν παρεπομένων ἀμαθείας ἕνεκα) Ἦν παῖς Ἀλιρρόθιος ὃν ὑμεῖς ἴστε Ποσειδῶνος τουτουῒ ἐξ Εὐρύτης τῆς νύμφης, ἀσελγὴς ὑπέρ τις ἄλλος, καὶ πρὸς ἡδονὰς ἀκαλάφορος, ὃν ἐσθ' ἔθρεψε κακὸν, σωφρονοῦσιν ὀλέθριον, κόραις ἐπίβουλον, πατράσι τῶν τούτων δυστυχίας οὐ τῆς τυχούσης παραίτιον. (Ἀρχὴ τῶν προηγησαμένων τῷ γεγονότι) Τοῦτον ἀνεψιὸν ὄντα προσιέμην τε ὡς εἰκὸς ὡς τὰ μάλιστα φιλοφρονούμενος, καὶ πάντα τὰ μὰ αὐτῷ ἀνιέμενος ἐπιτρέπων, τά τ' ἄλλα ἐφιλανθρωπευόμην, καὶ Ἀλκίππῃ (ἣν οἴδατε) θυγατέρι φιλτάτῃ, οὐχ ἧττον διὰ σωφροσύνην περιπτῷ, ἢ ἀποβλέπτῳ διὰ τὴν ὥραν, συνεῖναί τε παρεχώρουν καὶ διαλέγεσθαι. (Ἐκ τῶν παρειληφθέντων) Οὐχ ὡς μὰ Δία δεινόν τι παθεῖν παρ' αὐτοῦ, ἢ τολμηρὸν, οὐδὲ τὸ τῆς παρθένου κάλλος ἐπιβουλεύσοντα ὑποτοπάσας: (Ἐκ τῆς αἰτίας) Ἀλλ' ὡς συγγενεῖ μᾶλλον καὶ οἰκείῳ ταύτῃ προσενεχθῆναι, καὶ πρὸς σωφροσύνην, τὰ μὲν παραινετικοῖς συντελέσαι λόγοις, τὰ δὲ καὶ ἔργοις, εἴπου τις αὐτὴν λίχνοις ὄμμασιν ἀτενίσειεν ἀμυνόμενον τῇ παιδί. (Ἐκ τῶν παραληφθέντων) Ὁ δὲ τηλικούτων ἀξιωθεὶς παρ' ἐμοῦ, οὔτε τὸν ἄγρυπνον τοῦ Διὸς ὑπείδετο ὀφθαλμὸν, οὔτε θεῶν δίκην διευλαβήθη, οὔτε τὸ πατρὸς ἀξίωμα ᾐδέσθη, πολιοῦ ὄντος, καὶ τοῦ τῶν θεῶν ὑπάτου ἀδελφοῦ, οὔτε μὴν ἐδεδοίκει τοὐμὸν τουτὶ δόρυ: (Ἐκ τῶν ἑπομένων διὰ τὸ πραχθὲν) Ἀλλ' ἀμείψατο τὴν φιλανθρωπίαν τὴν ἐμὴν ἀδικίᾳ, πονηρίᾳ δὲ τὴν φιλοφροσύνην, καὶ τὴν πίστιν ὕβρει τῇ περὶ τὴν κόρην: (Ἐκ τῶν παραληφθέντων) Ἀποστερήσας αὐτὴν οὐ χρημάτων ὄγκον, οὐ πλῆθος θεραπαινίδων, οὐχ ἱκετῶν ὅμιλον, οὐχ ὅρμους, οὐ περιδέραια, οὐχ ὅσ' ἄλλα ταῖς παρθένοις εἰς κόσμον ἀπόκειται, ἀλλὰ τὸ πάντων παρθένοις περισπούδαστόν τε καὶ τιμαλφέστατον. ὃ καὶ ὑπὲρ

ἅπαξ

τέρω. εἶτα καὶ ἐκ τῶν παρεπομένων, ἢ τὸν τόπον πρὸς τὸ πρᾶξαι γεγενῆσθαι ἁρμόδιον, ἢ τὸν χρόνον καθ' ὃν ἐπράχθη κατὰ λόγον ἐξενέγκωμεν τῆς διανομῆς, καὶ τὰ λοιπὰ ὡσαύτως. Τελευταῖον δὲ καὶ ἐκ τοῦ πράγματος, ὃ διέξιμεν, εἰ τοῖς τῶν ἀκουόντων ἤθεσι καὶ γνώμαις μὴ ἀντιβαίνοι. ἃ γὰρ παρὰ πᾶσιν ἐν ἐπαίνου λόγῳ τυγχάνουσι, καὶ διὰ τοῦτο ἀναιδῶς εἰωθότα γίνεσθαι, παρ' ἄλλοις ἄθεσμα κρίνεται, καὶ οὐ πάνυ τοι ῥαδίως τολμώμενα. Ἂν δέ τι παράδοξον ἔνεστι τῇ διηγήσει, ὁμολογητέον μέν, οὐ μέντοι ἀδύνατον διὰ τοῦτο ῥητέον, καὶ τὰς αἰτίας ἐξενεγκεῖν πειρατέον. Ἔστι δὲ διχῶς καὶ αὐτὴν ἐξενεγκεῖν τὴν διήγησιν. ἢ ἁπλῶς, ὅτε τὰ πεπραγμένα ψιλὰ ἐκτίθεται, ὡς ἐν τῷ κατὰ Κόνωνος αἰτίας Δημοσθένης, καὶ ἐν τῷ παραγραφικῷ πρὸς Ζηνόθεμιν. Ἐξεταστικῶς δέ, ὅτε καὶ τὰς αἰτίας καὶ τὰ παρεπόμενα διὰ τὰ πραχθέντα ἐκφράσωμεν. ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους, ἢ δὲ ἐν τῷ πρὸς Λεπτίνην, ἔνθα περὶ τῆς πράξεως τοῦ Χαβρίου ποιεῖται τοὺς λόγους δεινῷ χαρακτῆρι μάλιστα πρέπουσα. καὶ ταῦτα ὅτε περὶ γνωρίμων ὁ λόγος, ἀπαριθμήσει δὲ μᾶλλον, ἢ διηγήσει ἔοικε. Πλατύνεσθαι δὲ πέφυκεν ἡ διήγησις ἔκ τε τῶν τῶν παρεπομένων, καὶ προηγουμένων διεξοδικωτέρας ἀναπτύξεως, καὶ τῶν ἐκείνων αἰτιῶν. διαφερόντως δὲ ἐκ τριῶν τούτων, ὡς Ἑρμογένει δοκεῖ. ἐξ ἑρμηνείας ῥητορικωτέρας τοῦ πράγματος. τοῦτο ποικίλοις ὀνόμασι καὶ κώλοις ἐκφέροντες πλείωσιν. ἐκ προσλήψεως τῶν τε παραληφθέντων. καὶ ἐξ αἰτίας τῶν παραληφθέντων καὶ τῶν πραχθέντων. ἔστω δὲ καὶ σαφηνείας ἕνεκεν ὡς ἐπὶ προβλήματος, Ἀλιρρόθιος ὁ τοῦ Ποσειδῶνος Ἀλκίππην τὴν τοῦ Ἄρεος διακορήσας. καὶ ἡ διήγησις ὡς παρὰ τοῦ Ἄρεως.

„ (Προκατάστασις τῆς διηγήσεως ἤ τι προδιήγησις)

„ Καί μοι ἀντιβολῶ κατὰ νοῦν ἀναλάβετε ἅπερ ἐγὼ παρὰ ἀνθρώ-
„ πων ὕβρισμαι. σκέψασθε εἰ φορητὰ κἂν τοῖς ἐπιεικεστάτοις τῶν

θεῶν,

συχ ἧττον ποιητικὸν καὶ ἡ ἐν τάξει καθ' ἣν ἐπράχθη, εἴτ' οὖν ἐκ φύσεως ἢ τύχης κεκλήρωται τῶν πραγμάτων ἀφήγησις.

Παραιτεῖται δὲ καὶ τὰς ἐπιβολὰς ἡ ἐνέργεια, καὶ οὐδὲν ἀνέχεται συνεφέλκεσθαι ἔξωθεν. ἢ γένος εἴδει, ἢ μέρει ὅλον, ἢ ἀόριστον ὁρισμένῳ, καὶ τὰ ὅμοια. ἐκτὸς εἰ μή που τοιοῦτόν τι τοῦ χαρακτῆρος ἀπαιτεῖ ἰδιότης, ὡς ἐν ἐκείνοις ἱκανῶς διώρισται. Σχήμασι δὲ σαφήνειαν κατορθώσομεν τοῖς ἀφηγηματικοῖς, καὶ ὀρθῶς ἐκφέροντες, μηδὲν πλαγιάζοντες ἢ συμπλέκοντες, ἐπαναφοραῖς τε καὶ ἐπαναλήψεσιν ἀναπαύοντες. ὅτι μὴ ἐναργῶς εἰρῆσθαι δοκεῖ, καὶ μεταβαίνοντες ἀφ' ἑτέρου ἐφ' ἕτερον. τῇ μὲν συμπληρώσει, τῇ δὲ ἐπαγγελίᾳ χρώμενοι. Κώλων δὲ τὰ μικρὰ καὶ κομματικὰ μάλιστα συμβάλλεται πρὸς ἐνέργειαν, ἁπλᾶ καὶ ἀπαρτίζοντα καθ' ἑαυτὰ τὰς ἐννοίας, καὶ ἐξ ὀνομάτων εὐπορήσομεν σαφηνείας, εἰ τὰ μὲν κοινὰ ἐναργῆ τε καὶ εὔσημα θηρώμενοι, ἐπικά τε καὶ μεταφορικὰ οὐ προσιέμεθα. τῶν πεποιημένων μέντοι ὅσα Ῥήτορσιν εὔχρηστα, καὶ μάλα εἰσὶ πρόσοδοι εἰς σαφήνειαν, ἅτε δὴ κατὰ μίμησιν ἐκφερόμενα. μίμησις γὰρ πᾶσα ἐναργείας ποιητική, μάλιστα δὲ διηγήσει προσήκουσα. ἣ γὰρ καὶ ἠθικὴ βούλεται εἶναι. ἦθος δηλαδὴ καὶ τρόπον ἐμφαίνουσα, καθ' ὃν τὸ δηλούμενον εἴργασται. Ἀλλ' οἷς μὲν σαφήνεια ἐκπορίζεται ταῦτα.

ΠΕΡΙ ΠΙΘΑΝΟΤΗΤΟΣ.

Πιθανῶς ἀφηγησόμεθα, Πρῶτον εἰ ταῖς τῶν προσώπων ἰδιότησι καταλλήλως τὰς ἐνεργείας ἀπονέμομεν. οἷον πλουτοῦντι μὲν, τὸ ἀσελγαίνειν. ὀργιζομένῳ δὲ, παραφέρεσθαι. καὶ πράῳ μὲν, καταλλάττεσθαι. δειλῷ δὲ, φεύγειν. καὶ τὰ ὅμοια. Δεύτερον, εἰ τὰς αἰτίας ἑκάστου τῶν γεγονότων σαφηνίσωμεν, οὐ τὰς προσεχεῖς μόνον, ἀλλὰ καὶ τὰς πορρωτέρω.

τινες καὶ προκατασκευὴν ἐχρημάτισαν. ἣν καὶ διχῇ συνεζεῦχθαι χώρᾳ ἀνωτέρω ἔφθημεν εἰρηκότες. νῦν μὲν ἐν προοιμίοις, ποτὲ δ' αὖ ἐν διηγήσει, ἔστιν ὅτε καὶ ἐν ἀμφοτέροις ἐπιτετήδευται. ἐπειδὰν δή που ἡ ὑπόθεσις πολλῶν οὖσα πραγμάτων περιεκτικὴ συμπεπλεγμένη τε δοκοίη καὶ δυσδιάκριτος, ἧς ἵνα τὴν σύγχυσιν διαλύσας εὐξύνετα ἀπεργάσῃ τὰ ῥηθησόμενα, τῇ τῶν ζητουμένων διαιρέσει ὁ Ῥήτωρ κέχρηται. ἣν καίτοι σπανίως, πλὴν ἔστιν ἰδεῖν καὶ ἐπὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν φιλεργουμένην ὑπὸ τοῦ Ῥήτορος, μνήμης ἢ εὐμαθείας ἕνεκεν: Παράδειγμα μὲν οὖν ψιλῶς ἐκφερομένης προθέσεως, τὸ Δημοσθενικὸν ἔστω ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. εἰς δὲ κατὰ διαίρεσιν, τὸ τοῦ Ἰσοκράτους πρὸς Νικοκλέα. ἐν οἷς δὲ ἐπ' ἀμφοτέρων ἡ διαίρεσις εἴη φιλοτεχνηθεῖσα, εἰ βουλομένοις ἐστὶ μαθεῖν, αὐτόν τε διέξιτε τὸν πρὸς Νικοκλέα λόγον, καὶ Δημοσθένους τὸν περὶ παραπρεσβείας.

Τῆς διηγήσεως ἀρεταὶ μὲν ἴσως καὶ ἄλλαι, ἀναγκαῖαι μέντοι σαφηνείας μετὰ πιθανότητος· ὧν ἐκτὸς ἡ διήγησις, τὸ ἄλλως φιλοπονεῖται πόῤῥω που τοῦ οἰκείου τέλους ἐμπίπτουσα. δήλωσις γὰρ ἡ ἐν πολιτικῷ λόγῳ διήγησις οὖσα γεγονότος πράγματος, εἰ μὲν τοῦ πιθανοῦ ἀμοιρήσειεν, οὐ γεγονότος λοιπὸν, ἀλλ' ἐνδεχομένου ὑπάρξει ἀνάπτυξις. παρὰ δὲ τὸ ἀσαφὲς, καὶ τοῦ ὅλου εἶναι δήλωσις διαμαρτήσει, καὶ περιττὸν τοῖς ὠσὶν ἐμβομβήσεται τῶν ἀκροατῶν παρενόχλημα. οὐκοῦν ἀνακεκράσθω ἐν διηγήσει τῇ σαφηνείᾳ τὸ πιθανόν. καὶ ἀνάπαλιν τῷ πιθανῷ ἡ σαφήνεια. ἀτελὲς γὰρ θάτερον παρὰ θάτερον. Ἁπλῶς μὲν οὖν εἰπεῖν ἐπὶ παντὸς λόγου σαφηνείας ἐστὶ ποριμώτατον ὑπέρ τι ἄλλο, ἀκριβολογία, καὶ τὸ μηδὲν παραλιπεῖν τῶν τοῖς πράγμασι παρεπομένων, πρόσωπον δηλονότι τὸ πρᾶξαν, τὸ πεπονθὸς, τόπον, χρόνον, αἰτίαν, καὶ τὰ λοιπὰ τῶν περιστατικῶν. ταύτης

οὐχ

εἴτ' οὖν ἐνθύμημα. ὃ καὶ κατασκευαστικὸν τὸν ἀνωτέρω εἰρημένον τρόπον; οἷον ἐστὶ καὶ τὸ τοῦ Δημοσθένους ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. Κομψότης δὲ καὶ τὸ εὔμορον καὶ πρὸς ἁρμονίαν κεκροτημένον παντὶ λόγῳ κόσμος ἐστὶν οὐκ ἄνευ ἡδονῆς τοῖς ἀκούουσι (πλὴν εἴπου ὁ λόγος διὰ τὸ ἐναγώνιον ἀποποιῆται τὸ ἔντεχνον) προοιμίῳ δὲ μᾶλλον ἐστὶ προσόδου, ἅτε δὴ καὶ εὐνοίας κατάληψις. ἣ διὰ τῆς τῶν λόγων ἡδονῆς μνηστεύεσθαι πέφυκε. καὶ τὸ εὔσημον διὰ τὴν εὐμάθειαν. Καὶ περὶ μὲν προοιμίου τοσαῦτα ἀποχρώντως εἰρῆσθαι ἔδοξεν. ἢν δέ τι καὶ παρειμένον ᾖ, ἥ τε τῶν εἰρημένων κατάληψις εἰς τὴν κἀκείνου ποδηγήσει γνῶσιν, καὶ τὸ ὑμῶν ἅμα τε ἀγχίνουν καὶ φιλόπονον τοῦτ' ἀναπληρώσεται:

ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ ΕΙΤΟΥΝ ΠΡΟΘΕΣΕΩΣ.

Τὸ προοίμιον ἡ πρόθεσις εὐθὺς διαδέχεται. ἣ γενικῶς μὲν ὁριζομένη, Ἔκθεσις λέγεται τῶν πραγμάτων καὶ δήλωσις περὶ ἃ συνέστηκεν ἡ ὑπόθεσις. εἰδικῶς δὲ τεμνομένης εἰς δύο. θάτερον εἶδος διεξοδικώτερόν τι πέφυκεν ἐκφέρεσθαι, καὶ κατά τινα ἐγκατάσκευον ἔκφρασιν. αἰτίας τε γὰρ τῶν γενομένων πολλάκις ἀναπτύσσει. περιστάσεις τε σαφηνίζει. καὶ πᾶν ὁποιοῦν εἰς τὸ σαφέστερον τῆς ὑποθέσεως συντείνει, εὐμεθόδως διερμηνεύει. καὶ τοῦτο διήγησις εἰδικῶς ἑρμηνεύεται. Θάτερον δὲ ἁπλοῦν τε ἐστὶ καὶ ἀκατάσκευον, καὶ συντομωτάτην εἴληχε καὶ ψιλὴν τὴν δήλωσιν. ὃ καὶ ἀνώνυμον ἐστὶ κατὰ τὴν διαφοράν. οὐδὲ πάνυ πολλῆς δέεται τῆς τοῦ Ῥήτορος ἐπιτεχνήσεως, ἅτε δὴ μονομερὲς ὄν, καὶ ψιλῶς ἐκφέρον τὰ πράγματα, μηδὲν τῶν πέριξ προσεφελκόμενον. πλὴν εἴπου ἐπ' αὐτῷ δεήσει γε προδιακρῖναι τὰ ἐν τῇ προθέσει ζητούμενα. ὃ δὴ

προ-

Ἀξίωσις

» σχηματιζόμενός τε καὶ συνεξομοιούμενος. Διά τοι ταῦτα ἔργον μοι ἔδοξε πάνυ μὲν ἀσεβές, οὐχ ἧττον δὲ καὶ ὑμῖν καταθύμιον διαπράξασθαι, εἴπερ ὀλιγάττα τῶν τοῦ ἀνδρὸς προτερημάτων τῶν πολλῶν ἐξελὼν, ὅσα καὶ τῆς ἐμῆς γλώττης μὴ ὑπερπαίη τὴν δύναμιν, τῷ λόγῳ ὡς ἐγχωρεῖ παραδοίην. Ὡς

Βάσις

ἂν καὶ τῶν ἀκροωμένων, τοῖς μὲν συνειδόσι ταῦτα πληρεστέραν τὴν μνήμην καὶ ἡδονὴν ἀπεργάσαιμι· τοῖς δὲ παντάπασιν ἀπείροις (εἴπου τινές εἰσιν) οἷόν τινα σπέρματα τῆς περὶ ἐκεῖνον ἱστορίας τε καὶ μιμήσεως διὰ τῆς ἀρημίας ἐγκαταβάλοιμι· καὶ ἅμα τῇ πανηγύρει τὸ εἰκὸς ἐκπληρώσαιμι:

Πολλάκις δὲ καὶ ὅλον ἐκτίθεται τὸ ἐνθύμημα, εἰλημμένον, ἢ ἐκ τοῦ ὁμοίου, ἢ ἐκ τοῦ ἐναντίου, ἢ ἐξ ὑπεροχῆς, ἢ ἐκ τοῦ ἐλάττονος, καὶ τῶν τοιούτων, οὗ ἀμφοτέρας κατασκευάσαντες τὰς προτάσεις, εἰς τὴν ἀξίωσιν εἴτ᾽ οὖν πρόθεσιν μεταβαίνομεν. οἷά που ὡς ἐν τύπῳ εἰσηγεῖται Ἀφθόνιος ἐν τῷ τοῦ » Θουκυδίδου ἐγκωμίῳ. (Προηγούμενον) Τιμᾶν ἄξιον τοὺς » εὑρόντας τὰ χρήσιμα, οἷς ἀπορῆσαι τὰ κάλλιστα, καὶ τὸ » παρ᾽ ἐκείνων φανὲν ἐπαναπίθεσθαι δικαίως τοῖς δόξασι. » (Ἑπόμενον) Οὐκοῦν Θουκυδίδην ἐπαινέσαι τοῖς λόγοις, » αὐτὸν τοῖς ἑαυτοῦ τιμᾶν προελόμενος: (Κατασκευή) » Ἅπαντας μὲν οὖν τοὺς ἀθλητὰς τιμᾶσθαι καλὸν, τοσοῦτον δὲ » μᾶλλον τὸν Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ » κάλλιστον: (Αἰτία κατασκευῆς.) Οὔτε γὰρ λόγων ἐν τοῖς » οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου σοφώτερον » ἐστὶν εὑρεῖν. Ἔστι δ᾽ ὅτε καὶ ὁλόκληρον τὸν συλλογισμὸν προτιθέασιν, ἐφ᾽ ὃν τὸ συναγόμενον ἀξίωσιν εἴτ᾽ οὖν βάσεως λόγον ἔσχηκεν. ὧν παραδείγματα καὶ ἐπ᾽ ἄλλων μάλα συχνὰ, καὶ παρὰ Δημοσθένει ἐπιστήσαντες εὑρήσετε. Ἐνίοτε δὲ καὶ τὴν πρώτως ἐντεθυμημένην πρότασιν ἀκατάσκευον παρέντες, ἐφ᾽ ἕτερον μεταβαίνουσι συλλογισμὸν

εἴτ᾽

ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΠΡΟΟΙΜΙΟΥ εἴτ᾽ οὖν εὑρέσεως.

Μετὰ δὲ τὴν τῶν ἔργων τοῦ προοιμίου διάσκεψιν, λοιπὸν ἤδη καὶ περὶ τῆς ἐκείνων συνθέσεως διαλαβεῖν. Ἐφ᾽ ἑκάστου τοιγαροῦν προοιμίου ζητητέα ἐστὶ πρότασις τις εὐστόχως ἡμᾶς εἰς τὴν ὅλην ὑπόθεσιν εἰσάγουσα, ἢ ἐκ τῆς ὑποκειμένης ὑποθέσεως μετενηνεγμένης, ἢ ἀλλαχόθεν ποθὲν εἰλημμένην. ἣν ῥυθμῷ ἅμα καὶ μετ᾽ εὐρυθμίας Ῥητορικῆς ἐκφράσωμεν, καὶ πλατύτερον κατασκευάσωμεν. εἶτα τὴν ἀπόδοσιν ἐποισόμεθα. ἥτις ἢ ἐνθυμήματος λόγῳ ἐκ τῆς προτέρας συνάγεται προθέσεως, ἢ γοῦν ἀξίωσιν περιέχει ἡμετέραν περὶ τοῦ προτεθέντος ζητήματος. καὶ εἰ μὲν δόξει ἑτέραν ἐπισυνάψομεν πρότασιν, κατασκευάζουσαν ἅμα τὴν συναχθεῖσαν, καὶ ἀμφοτέρας συνδέουσαν. εἰ δὲ μή, τὴν πρόθεσιν εὐθὺς ἐπεισάξομεν. ὑπόδειγμα δὲ τῶν εἰρημένων ἔστω τοιόνδε. Ἡ μὲν ὑμετέρα περὶ τὸν Ἥρωα προθυμία, ὦ ἱερεῖς καθ᾽ ἔτος τελεταῖς καὶ διακοσμήσεσι λαμπρὰν τὴν τοῦ πατρὸς μνήμην ἀπεργάζεται. λαμπροτέρα μέντοι πάντως συγκροτηθείη, καὶ τῶν φιλοθεαμόνων ἀκοαῖς πυρώτερον ἐνηχήσειεν, εἴγε καὶ τοῦ εἰς μνήμην ἀνισημοτάτου (φημὶ τοῦ λόγου) ἐπίβολος γένοιτο. Καλὴ μὲν καὶ ἡ παροῦσα φωταυγία τε καὶ φρυκτωρία, οὐχ ἥκιστα δὲ καὶ ἡ τῶν παραπετασμάτων ποικιλία τε καὶ γλαφυρότης. ἡ μὲν, διαφιλεῖ τῷ φωτὶ τὸ ἱερὸν ἅπαν τουτὶ καταυγάζουσα θέατρον. ἡ δέ, τῷ πολυανθεῖ τῶν βαφῶν, τὸ πολυειδὲς αἰνιττομένη τῆς ἀρετῆς τοῦ Ἥρωος, καὶ ἀμφότεραι εἰς ὁλοσχερῆ μνήμην τινὰ τὴν ἐκείνου τοὺς θεατὰς ἀνεγείρουσαι. ἐπεὶ μέντοι καὶ τῶν κατορθωμάτων τὸ μέγεθος ἐμφανῆσαι, ἢ γοῦν καθ᾽ ἓν ἐξειπεῖν ὅλως ἰσχύουσιν, ὃ μάλιστα πράττειν ὁ λόγος πέφυκε τῶν τῶν πράξεων ἰδιότησιν εὐπετῶς μάλα συμμετα-

χημα-

πανηγύρει· ὅ, τε ἐκκλησιαστὴς προΐσταται, ἐφ᾽ ᾧ ἡ βουλὴ συγκεκρότηται, κἂν ἀγνώμων τυγχάνῃ τὴν βούλησιν. ὁ δικαστὴς δὲ τούτων οὐδὲν προσποιεῖται. ταῦτ᾽ ἄρ᾽ ὥσπερ ἐς χεῖρας διδόναι δέον παρ᾽ αὐτὴν τὴν πρώτην τοῦ λόγου βαλβῖδα, τὸ τέλος τῆς ὅλης ὑποθέσεως τῷ δικάζοντι, ὡς ἂν ἀπευθύνειν ἔχοι τοῖς λεγομένοις τὸν λογισμόν. τὸ γὰρ ἀόριστον ἀπαρτᾷ πως καὶ ἀποπλανᾷ τὴν διάνοιαν (ὥς πού φησιν ὁ Ἀριστοτέλης) καὶ δυσπαρακολούθητον ἀπεργάζεται τὸν λόγον. Ληπτέα δὲ ὅθεν τότε τὰ προοίμια, ἔκ τε τῶν προσώπων καὶ τοῦ πράγματος, ἢ τῶν παρεμφαινομένων τινός. καὶ τούτων αὖθις ἕκαστον, ἢ ἐξ ὑπολήψεως, ἢ ἐξ ὑποδιαιρέσεως, ἢ ἐκ περιουσίας, καὶ προσέτι ἀπὸ καιροῦ. περὶ ὧν ἁπάντων κάλλιστά τε καὶ δεξιώτατα τῷ Ἑρμογένει διείληπται, ἐν τοῖς περὶ εὑρέσεως. διὸ καὶ μακρότερον ἐπὶ τοῦ παρόντος ἀποτεῖναι οὐ δεῖν ᾠήθην· ἐξὸν παρ᾽ ἐκείνῳ πληρέστατα ἐντυχεῖν.

ΠΕΡΙ ΔΗΜΗΓΟΡΙΚΟΥ ΕΙΔΟΥΣ.

Ἐπὶ δὲ τοῦ δημηγορικοῦ εἴδους οὐδὲ ὧδε ἐνδεῖ προοιμίου τῷ συμβουλεύοντι, ὅτι μὴ εἰς σύστασιν τοῦ οἰκείου προσώπου. καὶ ταῦτα ἡνίκα τινὰ περὶ ἑαυτοῦ ὑπόληψιν οὐκ ἀγαθὴν ἀποκροῦσαι δέον, ἢ τὴν σφετέραν περὶ τοῦ πράγματος γνώμην, ὅσον παρενείξασθαι. ἐν παραδείγματος λόγῳ, ἔστω τὸ τοῦ Βασιλείου πρὸς τοὺς νέους. καὶ Περικλέους ἐν τῇ δευτέρᾳ τῶν ξυγγραφῶν Θουκυδίδου. προσοχὴν δὲ καὶ εὔνοιαν οἴκοθεν οἴκοι φέρων ὁ ἐκκλησιαστής, ὡς περὶ ἑαυτοῦ καὶ τοῦ οἰκείου συμφέροντος τὴν ψῆφον ἐπενεγκεῖν μέλλων. εἰ μέντοι που καὶ χρεία προσοχῆς παρεμπίπτοι, ταύτην ἐκ τῶν ἀνωτέρω τεθέντων προαποριστέον τῷ λόγῳ, τὰ δὲ πολλὰ καὶ ὁ δημηγορῶν πρὸς τῆς δικανικῆς ἐρανίζεται τὰ προοίμια.

αὐτοῖς. καὶ τὰ λοιπά. Ἡ δὲ ἐξ ὑποβολῆς. οἷον δοκεῖ παρὰ Θουκυδίδῃ τὸ τοῦ Περικλέους ἐν ἐπιταφίῳ. Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλόν: Καὶ παρὰ ταῦτα ἀπὸ λύσεως τῶν ἀντιπιπτόντων τινός. ὡς εἴ τις περὶ παραδόξου τινὸς λέγειν προαιρεθείη, ἢ χαλεποῦ, ἢ τῶν τοῖς πολλοῖς τεθρυλλημένων. ὧν τὰ προοίμια καὶ ἐρανίζεσθαι φησὶν ὁ Ἀριστοτέλης πρὸς τῶν δικανικῶν τὸν συμβουλεύοντα. Καὶ τοῦ μὲν πρώτου ἔστω παράδειγμα τόνδε τὸν τρόπον. Οἶδα μὲν ὅτι παράδοξος ὑμῖν ὁ παρ' ἐμοῦ δόξει λόγος, καὶ μέχρι τοῦδε μήπω ποσὶν εἰρημένος. εἶτα καὶ τὰς αἰτίας προσθεὶς ἐπάγῃ τὰς λύσεις. Τοῦ δὲ χαλεποῦ, οἷα τὰ ἀνωτέρω, Γρηγορίου εἰς Βασίλειον, καὶ Ἀριστείδου. Τοῦ δὲ τρίτου τοιῶσδε. Πολλοῖς μὲν ἡ παροῦσα πανήγυρις καὶ παρὰ πολλῶν λόγοις τε καὶ συγγράμμασι πολλάκις τεθαύμασται. ἐξ ὧν εἰκὸς ἐστὶ μηδένα τῶν συνελθόντων εἶναι, ὅς μὴ περὶ ταύτης, ἢ εἰρηκώς τι ἐστίν, ἢ παρά τινος λέγοντος ἤκουσεν. οὐ μὴν διὰ τοῦτο οὐκ ἔστι καὶ αὖθις εἰπεῖν τι καινὸν περὶ αὐτῆς καὶ λόγου μνήμης ἐπάξιον. κἂν γὰρ μόνη τῶν ἄλλων τεθαύμασται· ἀλλὰ μόνη τῶν ἄλλων ἐλάττω τῆς ἑαυτῆς ἀξίας ἐπήνηται.

ΠΕΡΙ ΔΙΚΑΝΙΚΟΥ ΕΙΔΟΥΣ.

Οἰκειοτέροις δὲ τὸ Δικανικὸν χρῆται τοῖς προοιμίοις καὶ ἐξ αὐτῆς τῆς φύσεως τοῦ προβληθέντος ζητήματος μετενηνεγμένοις. καὶ διὰ τοῦτο τὸν σκοπὸν τῆς ὅλης ὑποθέσεως ἀπαγγέλλουσιν. ἡ γὰρ εὐμάθεια ἀγαθὴ μὲν ξυνοικὸς παντὶ προοιμίῳ. δικανικοῦ δέ, καὶ ἀναγκαία πως. ὑπόκειται γὰρ ἐνταῦθα παντάπασιν ὁ ἀκροατὴς ἀνήκοος τῶν ἀμφισβητουμένων. ὅ, τε γὰρ θεωρὸς οὐδεὶς ἥκει ὡς εὐφημία τὸ ῥηθησόμενον, καὶ τοιούτων τινῶν, ἃ προσήκει τῇ

πανη-

ΠΕΡΙ ΤΟΥ ΕΠΙΔΕΙΚΤΙΚΟΥ ΕΙΔΟΥΣ.

Τοῦ γοῦν Ἐπιδεικτικοῦ εἴδους οὐδὲν οἰκεῖον ἡγεῖται ὁ Ἀριστοτέλης προοίμιον, ἀλλ᾽ ὅθεν ἂν βουλομένῳ ᾖ τῷ Ῥήτορι, ἔξεστι λαβεῖν καὶ συνάψαι τῇ ὑποθέσει τὸ ἐνδόσιμον. αἴτιον δὲ οἶμαι, τὸ μηδένα μᾶλλον σκοπὸν προτίθεσθαι τὸ τοιοῦτον εἶδος, ἢ τὴν ἐν λόγοις ἐπίδειξιν. ἥτις οὐδένα κωλύει πορίζεσθαι, ἐξ ὧν ἂν δήποθεν συντεθῇ τὸ προοίμιον. εἴωθε μέντοι τὰ πολλὰ (ὡς καὶ αὐτῷ δοκεῖ τῷ Ἀριστοτέλει) ἐκ τεττάρων τόπων λέγεσθαι: α Τὰ μὲν ἐξ ἐπαίνου, ἢ τῶν τὴν ἀρχὴν τὰς πανηγύρεις συγκροτησάντων, καθά που καὶ Περικλῆς ἐν ἐπιταφίῳ φησίν. ἢ τῶν ἀκροατῶν καὶ τῆς ἰδίας ἀρετῆς. ἢ γένους ἐκείνων, ἢ πόλεως, ἢ κατορθωμάτων, ἢ ἄλλας τόπου. ἔστι γὰρ οὐ σμικρὸν πλεονέκτημα τῷ ἐγκωμιάζοντι πρὸς ἡδονὴν εἶναι τοὺς λόγους τοῖς ἀκούουσιν. ἀμφότερα δὲ συνεῖρεν Ἰσοκράτης ἐν Εὐαγόρᾳ. ἅμα γὰρ ἐπαινεῖ τὸν ἀγῶνα, καὶ Νικοκλέα τὸν ἀθλοθέτην, πρὸς ὃν καὶ τὸν λόγον συνέθετο. Ὁρῶν ὦ Νικόκλεις τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς, καὶ μουσικῇ, καὶ γυμνικοῖς ἀγῶσι. καὶ τὰ ἑξῆς. β Τὰ δὲ τοὐναντίον ἐκ ψόγου. ὡς Ἰσοκράτης ἐν πανηγυρικῷ, ἐν ᾧ μέμφεται τοὺς ἀθλοθέτας, ὅτι μηδεμίαν τοῖς εὐφρονοῦσιν εὔνοιαν πεποιήκασιν, εἰς δὲ τὴν τῶν σωμάτων ἀρετὴν πᾶσαν καταβάλλονται τὴν φροντίδα. Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. καὶ τὰ παραπλήσια. γ Τὰ δὲ ἀπὸ συμβουλῆς. καὶ τοῦτο διττῶς. Ἢ ἀπὸ προτροπῆς, ὡς ὁ Πλάτων ἐν ἐπιταφίῳ. ἐν ᾧ λόγοις κοσμεῖν συμβουλεύει ἃ καλῶς ἐπράχθησαν ἔργα. Ἔργον μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς.

προθυμίαν ἀκοῦσαι τῶν λέγειν διατεινομένων ἡμῶν, ἃ συνοίσειν καθ' ἕνα καὶ κοινῇ τῇ πόλει πάσῃ ἐγνώκαμεν.

ΠΕΡΙ ΕΥΜΑΘΕΙΑΣ.

Τὴν δὲ Εὐμάθειαν, εἴ τις ἀρχὴν εἴποι καὶ βάσιν προσοχῆς καὶ εὐνοίας, οὐκ ἂν ἁμάρτοι. ἐκ ταύτης γὰρ ἐκεῖναι ἤρτηνται. μᾶλλον δὲ ἀπ' αὐτῆς πᾶς λόγος ὥσπερ ἐπὶ κρηπῖδος βέβηκεν. ἧς ἄνευ ἀνάγκη πᾶσα ἀργὸν μένειν, καὶ τοῦ οἰκείου τέλους ἥκιστα ἐπίβολον. ταύτῃ τοι καὶ Ἀριστοτέλης τοῦτο μόνον ἔργον τοῦ προοιμίου ἀναγκαιότατον τέθεικε. τοιγαροῦν αὕτη προσγίνεσθαι πέφυκε τῇ κεφαλαιώσει τῶν πραγμάτων, καὶ μάλιστα τοῦ τέλους, οὗ ἕνεκεν ὁ λόγος δηλώσει μετ' ἀκριβείας ὡς ἔνι καὶ καθαρότητος ἐκπεφρασμένην, ἧς ἐν προοιμίῳ ὅσον οὐδενὸς ἐπιμελητέον. συμβάλλεται δὲ ταύτῃ διαφερόντως, καὶ τὸ οἰκόθεν μετενηνέχθαι τὰ προοίμια, καὶ αὐτοῖς δὴ ἐνστάξαι τῇ ὑποθέσει ἐνδιαμηχανῶντα σκοπόν. οὐδὲν δ' ἧττον καὶ ἡ τῶν ῥηθησομένων κεφαλαίων διαίρεσις, ἣν καὶ προκατασκευὴν τινες ἐχρημάτισαν. περὶ ἧς ἐν τῇ προθέσει διαληψόμεθα. ἔστι ὅτε γὰρ ἡ αὐτὴ ἐστὶ τῇ προθέσει, ὡς ἀνωτέρω εἰρηκότες ἐσμέν. Παραδείγματα δὲ τῆς ἐν προοιμίῳ εὐμαθείας ἔστω τὸ παρ' Ἰσοκράτει Παναθηναϊκοῦ καὶ περὶ ἀντιδόσεως. ἐν ᾧ διεξοδικώτατα πραγματεύεται τὴν εὐμάθειαν. Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι τοῖς πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἀποδείξεις γεγραμμένοις. καὶ τὰ λοιπά. μάλιστα συχνοῖς καὶ παρὰ Δημοσθένει ἐντεύξεσθε παραδείγμασιν, εἰ καὶ μικρῶν ἐπιστήσετε. οὐ πόρρω λίαν τῆς ὑποθέσεως, καὶ τὸ τοῦ Πλάτωνος ἐν ἐπιταφίῳ. Ἀλλὰ περὶ μὲν τῶν καθόλου τοῦ προοιμίου προσηκόντων, ἅλις ἂν ἔχοι τοσαῦτα εἰρῆσθαι. λοιπὸν δ' ἂν εἴη εἰπεῖν καὶ τίνι ἑκάστῳ λόγῳ γένει ἐφαρμόττει τὰ προοίμια, καὶ τίσι, καὶ ἐκ τίνων κατασκευαστέα.

κλίνοντας ἀνακαλέσασθαι. τό, Καί μοι προσέχετε τὸν νοῦν, καὶ σκέψασθε τί πρὸς Θεοῦ, καὶ τὰ παραπλήσια παρενείρων. μάλιστα μέντοι οἷς προσέχειν πεφύκασιν ἄνθρωποι, ταῦτα εἰσί. τὰ μεγάλα. τὰ θαυμαστά. τὰ ἴδια. τὰ φοβερά. τὰ καινά. τὰ οἰκεῖα. τὰ συμφέροντα ἰδίᾳ ἑκάστῳ, καὶ πᾶσι κοινῇ. δίκαια. ῥᾴδια. ἀγαθά. καὶ εἴ τι τούτοις παραπλήσιον. ἅπερ εἰ δόξῃ λέγων ἄριστα, τὴν φιληκοΐαν ἐπισπάσεται. πάντων δὲ ἑξῆς τῶν εἰρημένων ἐξενεγκεῖν παραδείγματα, καὶ πάρεργον, μὴ ὅτι ὀχληρόν, καὶ διατριβὴν ἡμῖν οὐ τὴν τυχοῦσαν ἐμποιοῦν. ἵνα μὴ μέντοι ὁ λόγος παντάπασιν ἀδίδακτος ᾖ, δύο ἢ τρία εἰς ἀκριβεστέραν τῶν εἰρημένων διασάφησιν παρεισάξωμεν. τὰ λοιπὰ δὲ ῥᾷστα, καὶ παρ' ὑμῶν προσεξευρίσκεται. Ὁ γοῦν Ἰσοκράτης ὡδί πως τοῖς μεγάλοις ἐν τῷ περὶ εἰρήνης λόγῳ τὴν προσοχὴν περιπορίζεται. Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν, καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ πανηγυρικῷ τοῖς κοινοῖς καὶ εἰς αὐτοὺς ἐκείνους εἰς οὓς καὶ ὁ λόγος ἀνήκουσιν, οἷς καὶ ὁ Δημοσθένης ἐν τῷ πρὸς Περικλέα. Τοῖς δὲ αὖ ἡδέσι καὶ καινοῖς ὁ Ῥήτωρ εἰς φιληκοΐαν ἐχρήσατο ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν. Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν ὦ ἄνδρες Ἀθηναῖοι. καὶ τὰ λοιπά. καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης καὶ πρὸς Ἀθηναίους. Ἣν μὲν ἔκπαλαι πάντες ἡμέραν ἰδεῖν ἐπιθυμοῦμεν, ἥδε ἐστὶν ὦ ἄνδρες Λακεδαιμόνιοι. καὶ τὰ λοιπά. Τοῖς φοβεροῖς δέ, ἐν τοῖς κατὰ Φιλίππου λόγοις ὁ Ῥήτωρ κέχρηται, καὶ Ἰσοκράτης ἐν ἀρεοπαγιτικῷ. Ἐγχωρεῖ δὲ πολλάκις καὶ ἐπαίνοις εἰς τὴν ἀκρόασιν παραθῆξαι τοὺς ὑπαίοντας. οἷον, Τὴν μὲν τοῦ περὶ τὰ κοινὰ προθυμίαν εἰδὼς ὦ ἄνδρες, καὶ ὅσον ἐστὶ τοῦ ἐκείνων ἐπίδοσιν ἀποδέδοτε. ἢ οὕτως. Οὐδ' ἦν πάνυ ἐβουλόμην ὦ ἄνδρες εἶχον ὑμᾶς μὴ ἐπαινεῖν, ὅσῳ προτέραν ἐνδείξασθε προ-

ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προστιθεὶς ὁ μέγας Βασίλειος. καὶ τὰ ὅμοια. καὶ Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, τῷ εἰς ῥώμην ἐγκωμίῳ. καὶ ἐν πρώτῳ τῶν ἱερῶν: Εἰ δ' ἔμπαλιν ἃ διέξεισι μικρά τε εἰσὶ καὶ εὔωνα, ἐπαύξειν πειρατέον, ἢ καθ' ἑαυτά, ἢ πρὸς ἐλάττω παραβαλλόμενα. ὡς Λουκιανὸς ἐν ἐγκωμίῳ τῆς μυίας. Εἰ δὲ τοῦτο οὐκ ἔνι, ἀλλὰ γοῦν ἀναγκαῖα, ἢ ἐπωφελῆ, ἢ δίκαια, καὶ τὰ ὅμοια ἀποδεικτέον, τούτοις αὐτοῖς καὶ ὅσα ἀτοπίαν ἔχειν δοκοῦντα. ἢ ἐπαχθῆ εἴη τοῖς ἀκροωμένοις θεραπεύσειν. ἢ μειῶν ταῦτα, ἢ τὴν κατεπείγουσαν αἰτίαν ἐπάγων, ἢ τῷ ἀντιδίκῳ τὰς προφάσεις ἐπιφορτίζων, ἢ εἰς θεόν, ἢ εἰς τύχην, ἢ φύσιν, ἢ ἔθος ἀναφέρων τὸ αἴτιον. ἀνθ' ὧν ἁπάντων ἀπόχρη τό γε νῦν ἔχον διὰ τὸ σύντομον ἐν παραδείγματος λόγῳ τὸ τοῦ Ἀριστείδους ὑπὲρ τοῦ μηδ' ἑτέροις βοηθεῖν. Εἴ τι κἀμοὶ μέτεστιν ὦ Ἀθηναῖοι παῤῥησίας, πειράσομαι περὶ τῶν παρόντων εἰπεῖν ἃ γινώσκω, δεηθεὶς ὑμῶν μὴ θορυβῆσαι, πρὶν ἂν πάντων ἀκούσητε. καὶ τὰ ἑξῆς. Ἀπὸ δὲ τοῦ χρόνου ἀναφύονται ὑμῖν ἀντιῤῥήσεις, ὅτε εἰ σπεύσαιμεν παρὰ τὸ προσῆκον τοὺς λόγους, ἢ κατόπιν γενοίμεθα τοῦ καιροῦ ὑστεροῦντες. ὁ Δημοσθένης ἐν τῷ περὶ Στεφάνου Αἰσχίνῃ φαίνεται ἀνθυπενεγκών. τοῦτο ἄριστα ἐν προοιμίοις τῷ Ἰσοκράτει κατεσκεύασται ἐν τῷ πανηγυρικῷ, ἔνθα φησὶν ὧδί πως. Ἔπειτα οὐδ' οἱ καιροί πω παρεληλύθασιν ὥστε μάτην εἶναι τὸ μεμνῆσθαι περὶ αὐτῶν. καὶ τὰ ἑξῆς. Καὶ περὶ μὲν ὧν ἡ εὔνοια θηραθείη, τοσαῦτα εἰρήσθω. οἷς δὲ προσοχὴ καὶ φιληκοΐα, ἑξῆς ῥητέον:

ΠΕΡΙ ΠΡΟΣΟΧΗΣ.

Τὸ μὲν οὖν προσεκτικὸν ποιεῖν, ὁ Ἀριστοτέλης οὐχ ἧττον ἡγεῖται τῶν ἄλλων εἶναι μερῶν τοῦ λόγου, ἢ τοῦ προοιμίου. ἔξεστι γάρ φησι τῷ Ῥήτορι εἰδ' ἂν τοῦ λόγου τοὺς ἀκροατὰς αἴσθοιτο εἰς ῥᾳθυμίαν ἀπο-

,, τὰ οἰκεῖα θαυμάζομαι. οὐ μὴν ὅτι οἰκεῖα, διὰ τοῦτο ψευδῶς. ,, ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετῶς. ἀληθῆ δέ, οὐχ ,, ὅτι δίκαια μόνον, ἀλλ' ὅτι καὶ γινωσκόμενα, καὶ τὴν πρὸς ,, χάριν οὐ συγχωρεῖται κἂν ἐθελήσωμεν.

ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΤΗΣ ΑΙΤΙΑΣ ἀντιπιπτόντων.

Τοῖς γοῦν εἰρημένοις, καὶ πρὸς τὰ ἀπὸ τῆς αἰτίας ἀντεφορμᾶν ἕξομεν. ἅπερ ἡμῖν ἀντιβαίνειν δοκεῖ, ὁπηνίκα δι' ἔχθραν, ἢ δι' ὀργήν, καὶ πρὸς τὸ ἴδιον ἀφορῶντες κέρδος τὰς εὐθύνας εἰσφέρεσθαι ὑποπτευώμεθα, καὶ διὰ φιλίαν μᾶλλον, ἢ δι' ἀρετὴν τοὺς ἐπαινουμένους ἀποσεμνύνειν. Παραδείγματα δὲ περὶ τὰ ἐκτεθέντα, κἀκεῖνα οὐκ ἀπὸ σκοποῦ. οἷς ὁ Ῥήτωρ κέχρηται κατά τε Ἀριστοκράτους, καὶ Ὀνήτορος. ,, Μηδεὶς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι νομίσῃ μήτε ἰδίας ,, ἔχθρας ἐμέ, μήτε μιᾶς ἕνεχ' ἥκειν Ἀριστοκράτους κατη- ,, γορήσοντα.

ΤΑ ΑΝΤΙΠΙΠΤΟΝΤΑ ΕΚ ΤΩΝ πραγμάτων.

Τὰ δὲ ἐκ τῶν πραγμάτων ὧδέ πως θεραπευτέα, οὐδὲ εἰ μεγάλοις ἐγχειρεῖ καὶ δόξαν ἐσχηκόσι, τὸ τοῦ ἀγῶνος ἐργῶδες καὶ δυσαντίβλεπτον ὁμολογητέον ἐν προοιμίοις εὐθύς. οἷα δὴ τὰ πολλὰ μηχανῶνται οἱ πανηγυρίζοντες, ἀσθένειαν ἑαυτῶν, ἢ προπέτειαν παρ' αὐτὴν τὴν πρώτην τοῦ λόγου παρείσδυσιν καταγινώσκοντες, καὶ γλῶτταν καὶ λόγων φύσιν διαμεμφόμενοι, ὡς οὐχ ἱκανοῖς ἐνδείξασθαι δυναμένην ἴσον εὐφημίας τῷ ἐγκωμιαζομένῳ πρόσεστι. κἀντεῦθεν τῶν τε θεατῶν τὴν εὔνοιαν ἐπισπώμενοι, καὶ τῷ εὐφημουμένῳ εὔκλειαν μνηστευόμενοι. ἀποδέχεται γὰρ ὁ ἀκροατὴς τὸν λέγοντα μᾶλλον μετριοφρονοῦντα, εἴ τι καὶ εἰρωνεύοιτο, ἢ ἀναίδην ἀπαυθαδιαζόμενον. Παραδείγμασι δὲ τούτων, ἐπὶ πολλῶν καὶ ,, ἄλλων ἐντεύξεσθε, καὶ παρὰ Γρηγορίῳ. Ἔμελλεν ἄρα πολλὰς

πόλεως νομίμοις, καὶ τὰ λοιπά. καὶ Δημοσθένης ἐν τῷ πρώ-
τῳ τῷ κατὰ Φιλίππου. ἢ πάλιν, εἴτις πρεσβύτης ὤν, δη-
μηγορεῖ παρὰ τὸ εἰωθὸς, καὶ εἴ τις μηδὲν πρότερον εἰρη-
κώς. οἱ γὰρ τοιοῦτοι κέρδους ἕνεκα τινὸς ἰδίου ἐπὶ τὸ λέ-
γειν ὁρμῆσαι δοκοῦσιν. ἔπειτα ἐὰν συνεχῶς λέγῃ, τοῦτο γὰρ
οὐχ ὅπως πολυπραγμῶν, ἀλλὰ καὶ ὕβριν διὰ τὸν κόρον ἐμ-
ποιεῖ τοῖς ἀκούουσι. καὶ ταύτην τοιγαροῦν ἀποκρούειν δεῖ τὴν
ὑπόνοιαν, τὰς αἰτίας ἀναφέρων, ἢ εἰς τὴν σπάνιν τῶν συμ-
βουλευόντων, ἢ εἰς τὸ μέγεθος τοῦ κινδύνου, ἢ ἐπὶ τὸν ἀν-
τίδικον, καὶ ἐπ' ἄλλο τι τοιοῦτον. ὡς ἄλλοι τε, καὶ ὁ Δημο-
σθένης ἐν τῷ πρὸς Λεώχαριν. Αἴτιος μὲν ἐστὶ Λεώχαρις οὑ- „
τοσὶ ὦ ἄνδρες δικασταὶ, τοῦ καὶ αὐτὸν κρίνεσθαι, καὶ ἐμὲ νεώ- „
τερον λέγειν ἐν ὑμῖν, ἀξιῶν κληρονομεῖν ὧν οὐ προσήκει „
αὐτῷ, καὶ ὑπὲρ τούτων ψευδῆ διαμαρτυρίαν πρὸς τῷ ἄρ- „
χοντι ποιησάμενος. καὶ τὰ λοιπά: Εἶτα ἂν κατά τινος „
λέγῃς τῶν ἐν τῇ πόλει λαμπρῶν τε καὶ περιβλέπτων, αὐτὸς
ἀφανὴς ὤν, ἢ γοῦν μὴ ἰσοστάσιος, καὶ ταῦτα εἴγε διώκῃς ἐφ'
οἷς ἐκεῖνος εὐδοκιμεῖ παρὰ τοῖς ἀκούουσι. τηνικαῦτα γὰρ
πολὺ πρότερον ἐν προοιμίοις θεραπευτέον τὴν τοῦ ἀκροατοῦ
διάθεσιν, εἶτα καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰτέον. τοῦτο ἄριστα ἐν
τῷ πρώτῳ πρὸς Πλάτωνα Ἀριστείδης περὶ Ῥητορικῆς ἐφι-
λοτεχνήσατο. Οἶμαι δεῖν ὅστις μέλλει τὰ δέοντα ἐρεῖν, ἢ „
ψήφου κύριος ὀρθῶς ἔσεσθαι, μὴ τοῦτο σκοπεῖν, μηδὲ βα- „
σκαίνειν, εἴ τινι τῶν προτέρων καὶ δόξαν ἐχόντων ἑτέρως εἰ- „
ρῆσθαι περὶ αὐτῶν συμβέβηκε. καὶ τὰ ὅμοια. Σκοπεῖν δὲ καὶ „
παρὰ ταῦτα χρὴ, ἢ τῶν πρὸς ἔχθραν τις ἐστὶ περὶ οὗ ὁ λό-
γος, ἢ τῶν ἐπιτηδείων, καὶ τῶν ἀφ' αἵματος. ἐν οἷς δι' ὑ-
ποψίας ἐστὶν ὁ Ῥήτωρ, μὴ ὑπ' εὐνοίας ἢ μίσους ἑλκόμενος
μικρὰ τῆς ἀληθείας εἰκάζεται. ταύτην μάλα εὐτέχνως ἀ-
πεκέλασε τὴν ὑπόνοιαν ὁ Θεολόγος Γρηγόριος, ἐν τῷ εἰς
Γοργονίαν τὴν ἑαυτοῦ ἀδελφὴν ἐπιταφίῳ. Ἀδελφὴν ἐπαινῶν, „

ἔργον τῆς πόλεως, τὴν παρ' ἐκείνων εὔνοιαν σφετερίζεται. τούτοις παραινετικὸς καὶ ὃν Κορίνθιοι κέχρηνται πρὸς Λακεδαιμονίους ἐν τῇ πρώτῃ τῶν ξυγγραφῶν Θουκυδίδου. καὶ παρὰ ταῦτα τὸ Κλέωνος, ὡς πρὸς Ἀθηναίους ἐν τῇ τρίτῃ:

Τοῦ δὲ δευτέρου, τὸ τοῦ περὶ Στεφάνου μάλιστα προσφυές. ἔνθα ὁ Ῥήτωρ τοῖς πολίταις ἑαυτὸν συνιστὰς τό, φιλόδημον αὐτοῦ καὶ εὔνουν μεθ' ὅρκου τ' ἐμπεδοῖ, καὶ τοῦτο παρ' ἐκείνων τοῖς ἴσοις μέτροις ἀνταπαιτεῖ. Πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ, τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα: (Ἐκ διαβολῆς τῶν ἀντιδίκων) προοιμιάσαιτο ὁ Ῥήτωρ ὁ κατὰ Μειδίου λόγος. Τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὔθ' ὑμῶν, οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι. καὶ τὰ ὅμοια. τοῦ τοιούτου δὲ γένους καὶ ὁ περὶ τῶν ἐν Χερρονήσῳ καὶ συμμοριῶν λόγος, οἷς ἐντυχεῖν ῥᾷον ὁπηνίκα ὑμῖν πρόυργου γένηται. (Ἐκ τῆς τῶν ἀντιπιπτόντων λύσεως) Λοιπὰ γοῦν ὅσα ἐκ τῆς τῶν ἀντιπιπτόντων λύσεως. ἣ καὶ πολυειδῆ τὴν σκέψιν εἴληχεν, ἅτε δὴ καὶ τὰ ἀντιπίπτοντα. τὰ μὲν γὰρ παρὰ τὸ διάφορον ἀνακύπτει τῆς τῶν προσώπων χρήσεως, ἐξ ὧν ὁ λόγος σύγκειται. τὰ δὲ ἐκ τῶν πραγμάτων αὐτῶν ἀναφύεται, καὶ τῆς αἰτίας δι' ἣν ὁ λόγος. ἔνια δὲ προξενεῖ ἢ τὸ τοῦ χρόνου ἀνοίκειον, περὶ ἃ καὶ καθ' ἃ πάντα εἰκὸς ἐστὶ τὰς ἀμφισβητήσεις τε καὶ κρίσεις ποιεῖσθαι τοὺς νουνεχῶς ἐπαΐοντας. ἐπεὶ καὶ φιλεῖ παρὰ ταῦτα ὡς τὰ πολλὰ παραχρούεσθαι ἡ ἀλήθεια:

Ἐκ μὲν οὖν τῶν προσώπων τοιάδε ἀντιπίπτειν ἐνδέχεται. οἷον φέρε εἰπεῖν, τίς ὢν λέγεις. καὶ πρὸς τίνας. ἢ νεώτερος πρὸς πρεσβυτέρους συνέσει τε καὶ σοφίᾳ κεκοσμημένους, ὃ κάλλιστα τῷ Ἰσοκράτει διώκηται ἐν Ἀρχιδάμῳ. Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν, ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς

πόλεως

τῷ προαύλῳ τὰς τῶν παρόντων ἀκοὰς οἱονεὶ προτελοῦσί τε, καὶ εἰς τοὐπιὸν τῆς ᾠδῆς ἀναγείρουσιν. οὕτω τοι καὶ οἱ ἀμφὶ τοὺς Ῥήτορας, διά τισι θελκτηρίοις παρορμήμασι τῷ προοιμίῳ ἐξημερίζουσι τὴν τῶν ἀκροωμένων ψυχὴν, καὶ ἐμπαράσκευον εἰς τὴν αὐτῆς ὑπόθεσιν ἀπεργάζονται. ταὐτὸ δὲ τοῦτο καὶ ὁ τῆς οὐσίας αὐτοῦ δηλωτικὸς παρίστα λόγος, ὡς ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ τῷ φιλοσόφῳ ὥρισται. Προοίμιον φησὶ καθόλου μὲν εἰπεῖν, ἀκροατῶν ἐστὶ παρασκευὴ, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ μὴ εἰδόσι δήλωσις. Τοὺς μέντοι ἀκροατὰς τηνικαῦτα εἰώθαμεν ἀποχρώντως παρασκευάζειν, ἐπειδὰν εὔνους τε ἡμῖν, καὶ τοῖς ῥηθησομένοις προσέχοντας, καὶ εὐμαθεῖς κατορθώσωμεν. Τοιγάρτοι ἐντεῦθεν συναγαγεῖν ἐστὶ τὰ τοῦ προοιμίου ἔργα. εὔνοιαν, προσοχὴν, εὐμάθειαν. ἅπερ ἅμα πάντα ἐμφιλοχωρεῖν ἐπὶ παντὸς προοιμίου, οὐ πάντως ἐστὶν ἐπάναγκες. ἀλλ' ἅττα τό, τε εἶδος τοῦ λόγου, καὶ ἡ τοῦ ἀκροατοῦ διάθεσις ἀπαιτεῖ. ἔστι δ' οὗ καὶ ὁλοσχερῶς τοῦ προοιμίου ὁ Ῥήτωρ ὀλιγωρεῖ, ὡς ἐν τοῖς ἑξῆς εἰσόμεθα. ἐν οἷς μέντοι χρησία ἦν καὶ ὅθεν ἂν νῦν ἀπορήσαιμεν, τὰ νῦν πειρατέον εἰπεῖν.

ΠΕΡΙ ΕΥΝΟΙΑΣ.

Εὔνοια μὲν οὖν θηρᾶσθαι καὶ ἄλλοις πέφυκε, μάλιστα δὲ ἐκ τεττάρων τουτωνί. ἐπαίνου τῶν ἀκουόντων. συστάσεως τοῦ οἰκείου προσώπου. ἐκ διαβολῆς τῶν ἀντιδίκων. καὶ λύσεως τῶν ἀντιπιπτόντων. ὧν τοῦ μὲν πρώτου ἔστω παράδειγμα τὸ τοῦ Ἰσοκράτους ἐν πλαταϊκῷ. Εἰδότες ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀποδιδόναι. καὶ τὰ ἑξῆς. τό, τε δημοσθενικὸν ἐκεῖνο ἐν τῷ τρίτῳ ὑπὲρ Ὀλυνθίων, ἐν ᾧ ἐκ πλαγίου ὁ Ῥήτωρ ἐπαινῶν τοὺς Ἀθηναίους ὡς χρημάτων ὑπερόπτας, καὶ πρὸ παντὸς τιθεμένους τὸ συμφέ-

γὰρ ἕνεκεν ἐπινενόηται. τοῦτο δὲ προοιμίου ἐστὶ φιλοτέχνημα. νυνὶ δὲ μετὰ τὴν πρόθεσιν, ὅτι καὶ προθέσεως χώραν ἀναπληροῖ. ἧς δεῖ προεκθέσθαι τὰ περὶ ὧν ὁ μέλλει ἔσεσθαι λόγος, καὶ τοῖς ῥηθησομένοις ἐμποιῆσαι σαφήνειαν. Διὸ δὴ τὰ μὲν τῶν ἄλλων ὡς περιττὰ καὶ ἀλυσιτελῆ παρωσάμενοι, μόνῃ τῇ τοῦ Ἀριστοτέλους τετραμερεῖ ἐφησυχάσομεν διαιρέσει. Μετὰ γοῦν τὸ προοίμιον, τὴν πρόθεσιν ἤτοι πρόβλημα τάξομεν, ᾗ συνεπινοεῖται καὶ ἡ διήγησις. ἡ γὰρ πρόθεσις ἢ ἔκθεσις τῶν τῆς ὅλης ὑποθέσεως κεφαλαίων τε καὶ πραγμάτων, ἢ τῶν ἤδη συμβάντων καὶ εἰργασμένων διήγησις. Μετὰ τὴν πρόθεσιν εὐθὺς τὴν πίστιν συνάψομεν, ἥτις ἀνασκευήν τε ἐμπεριέχει καὶ κατασκευήν, καὶ ἁπλῶς ὅσα εἰς τοὺς ἀγῶνας ἀνήκει. Τελευταίῳ δὲ τῷ ἐπιλόγῳ χρησόμεθα, ἀναμιμνήσκοντες τοὺς ἐπαΐοντας τῶν προειρημένων, καὶ εἰς σύστασιν ἠθῶν παροξύνοντες. περὶ ὧν ἁπάντων ἐν τοῖς ἑξῆς διαληψόμεθα. θεοῦ τοῦ τῶν λόγων προϊσταμένου, ποδηγοῦντός τε καὶ συναίροντος:

ΠΕΡΙ ΠΡΟΟΙΜΙΟΥ.

Εἴπερ ἐν ἄλλοις καὶ ἐπὶ τῆς τοῦ προοιμίου φωνῆς τὸ τοῦ Κρατύλλου παρὰ Πλάτωνι οἰκείως εἰρῆσθαι δοκεῖ. ἐνεῖναι δήπουθεν τοῖς ὀνόμασι ὀρθότητά τινα πρὸς ἀνάπτυξιν τῶν ἑκάστῳ σημαινομένων, καὶ οὐ συνθήκῃ μόνῃ καὶ ὁμολογίᾳ τοὺς πρώτως ὀνοματοθέντας ἐξενεγκεῖν τὰ ὀνόματα. ἐνδίδωσι γὰρ ἡμῖν ἐννοεῖν τὸ πρόσρημα τὸ πρὸ παντὸς τιθέμενον λόγου, προπαρασκευαστικὸν πρόσρημα. ἐκ τοῦ, πρό, μορίου, καὶ τῆς, οἶμι, φωνῆς. οὐ τὴν ὁδὸν μόνον, ἀλλὰ καὶ τὴν ᾠδὴν παρεμφαινούσης συμπλεκομένων. ἐφ' ᾧ δὲ καὶ Ἀριστοτέλης τῷ τε ἐν ποιήσει προλόγῳ, καὶ προαυλητοῖς προαυλίῳ, συνέκρινε τὸ προοίμιον. οἷα γὰρ ἐκείνων, οἱ μὲν Ποιηταὶ τῷ προλόγῳ, Αὐληταὶ δὲ

Μέρη τοιγαροῦν τοῦ πολιτικοῦ λόγου, τὸ μὲν Ἀριστοτέλης δύο ταῦτα ἀναγκαῖα ἡγεῖται. τὴν πρόθεσιν ἣν καὶ πρόβλημα λέγει, καὶ τὴν πίστιν ἣν καλεῖ καὶ ἀπόδειξιν. ἀναγκαῖον γὰρ τὸν ἀποδεικνύντα πάντως προειρηκέναι τὸ περὶ οὗ ἐπάγει τὰς ἀποδείξεις. τὸ γὰρ εἰπόντα μὴ ἀποδεῖξαι, μὴ ὅτι ἀπίθανον καὶ μάλα εὐήθεις διανοίας ἐς πίστιν δεόμενον, ἀλλὰ δὴ καὶ γελοῖον. τὸ δὲ ἀποδεῖξαι μὴ προειπόντα, καὶ ὅλως ἀδύνατον. Διὰ μέντοι τοῦ ἀκροατοῦ τὴν φαυλότητα, ἐγκριτέον οἴεται μετὰ τοῦ ἐπιλόγου καὶ τὸ προοίμιον. Τὴν δὲ προκατάληψιν ἣν μετὰ τὸ προοίμιον τιθέασι τῶν πάλαι ῥητορευσάντων ἔνιοι, καὶ τῶν νῦν οἱ πλεῖστοι, τήν τε προκατασκευὴν, ἣν μετὰ τὴν πρόθεσιν ἤτοι διήγησιν (ἀμφότερα γὰρ νοεῖν δεῖ τῷ τῆς προθέσεως ὀνόματι) συνάπτουσιν. ἀνασκευήν τε προσέτι, τὴν μετὰ τὴν πίστιν ἤτοι κατασκευήν. καὶ ἄλλα ὅσα ἐπινενοήκασι τινὲς κατὰ τὸ δοκοῦν τὰ ὁλοσχερῆ τοῦ λόγου κατακερματίζοντες μόρια, λῆρόν δή τι ἀποκαλεῖ, καὶ ἀνοίκειον βάρος τοῖς λόγοις περιαπτόμενα. ἣν γὰρ τῆς προθέσεως εἴτ' οὖν διηγήσεως ἀξιοῦσι προτάττεσθαι προκατάληψιν, τῇ πίστει ἐμπεριέχεται τὸ προκαταλαβόντα πόῤῥωθεν τὸν ῥήτορα προανελέσθαι τὰ ἀντιπίπτοντα, καὶ ἐπὶ προδιακειμένῃ τῇ λύσει ἐπαγαγεῖν τὰ ἴδια. ὅπερ ἐστὶ προκαταλήψεως ἔργον. τῶν ἀγώνων πάντως ἐστὶν ἐς ἴσα ἀνασκευή τε μετὰ κατασκευῆς καὶ λύσεις καὶ ἀντιθέσεις ἀνάγονται. ἅπερ ἑνὶ τῷ τῆς πίστεως ὀνόματι τῷ Ἀριστοτέλει συμπεριείληπται. οὐ γὰρ μόνον ἐμπεδοῦντες, διὰ κατασκευῆς πιστούμεθα τὰ ὑμέτερα, ἀλλὰ πολλῷ μᾶλλον καὶ τὰ τῶν ἐναντίων ἀνασκευάζοντες, καὶ ἀσθενῆ ἀποφαίνοντες. Οὔτε μὴν οἱ τὴν προκατασκευὴν τιθέμενοι πλέον τι λέγουσι τῶν μηδὲ τιθεμένων. ἡ γὰρ κατασκευὴ ἔκθεσίς ἐστι τῶν τῆς ὅλης ὑποθέσεως κεφαλαίων εἴτουν ζητημάτων, ὡς ἔστιν ἰδεῖν παρὰ Ἑρμογένει. ἥτις νυνὶ μὲν πρὸ τῆς προθέσεως τάττεται, καὶ μέρος τοῦ ὅλου γίνεται προοιμίου. εὐμαθείας

γὰρ

ποσὶν ἐφέστηκεν. Ἕτεροι δέ τινες τὸ τριμερὲς τῆς ἡμετέρας ψυχῆς αἴτιον ἡγοῦνται τῆς τριειδοῦς τῶν τοῦ πολιτικοῦ λόγου γενῶν. ὅπερ οὐδὲ ὁ Ἀριστοτέλης ἀποποιεῖται. φασὶ γοῦν τὸ μὲν συμβουλευτικὸν ἀπὸ τοῦ ἐπιθυμητικοῦ τὴν γένεσιν ἰσχειν. ἐξ ἐπιθυμίας γὰρ οἱ ἄνθρωποι ἢ τοῦ κτήσασθαί τι τῶν ὄντων ἢ δοκούντων ἀγαθῶν, ἢ ἀπαλλαγῆναι τῶν ἀνιαρῶν, ἐς τὸ συμβουλεύειν προάγονται. οὗ χάριν καὶ εἰς δύο ταῦτα διήρηται ἀντικείμενα εἴδη, τὸ προτρεπτικὸν δῆθεν, καὶ ἀποτρεπτικόν. Τὸ δὲ δικανικὸν ὡς ἐκ πηγῆς πρόεισι τοῦ θυμικοῦ. κατηγορία γὰρ καὶ ἀπολογία τὰ ἐκείνου εἴδη τοῦ θυμοειδοῦς τε εἰσὶν ἔκγονα, καὶ οὐκ ἄνευ θυμοῦ ἐπιτηδεύεται. Τὸ δὲ πανηγυρικὸν ἰδίως τῷ λογικῷ μέρει ἀποκεκλήρωται, ἐπεὶ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν τὴν ἐν λόγοις ἀφορᾷ, καὶ γαληνιώσης δέεται τῆς ψυχῆς καὶ τῆς τῶν παθῶν στάσεως ἐκτός, καθὸ καὶ λόγος ἐπικρατεῖ τῶν ἀλόγων δυνάμεων, κἀκεῖναι μετεχόντως λογικαὶ γίνονται τῇ πρὸς τὸ κρεῖττον ὑποταγῇ καὶ ἀναφορᾷ τελειούμεναι.

Σκοπὸς δὲ τοῦ μὲν συμβουλευτικοῦ, τὸ σύμφορον καὶ ἀσύμφορον. τοῦ δὲ δικανικοῦ, τὸ δίκαιον καὶ ἄδικον. τὸ δὲ καλὸν καὶ αἰσχρὸν τοῦ πανηγυρικοῦ. καὶ τῷ καλῷ δὲ καὶ αἰσχρῷ πολλάκις ὁ συμβουλεύων κέχρηται, ἀναφέρων πρὸς τὸ τέλος τὸ ἴδιον. ὡσαύτως καὶ ὁ ἀμφισβητῶν τοῖς τοῦ συμβουλεύοντος καὶ ἐναλλάξ. Ἀλλὰ ταῦτα μὲν ὡς ἐγχωρεῖν ἦν τῷ τε συντόμῳ τῆς πραγματείας, καὶ τῷ ἡμῖν ἀνενοχλήτῳ, ἅλις ἔστω ἀνατεθεωρημένα. ἄλλως τε οὐδὲ πάνυ τι προὔδου ἴσως ἐς τὴν κατὰ Ῥήτορας εὐστομίαν τὸ ἀκριβοῦς περὶ ταῦτα ἐξονυχίσεως, ὅτε πράξει μᾶλλον ἢ θεωρίᾳ τὰ τῆς Ῥητορικῆς (ἅτε δὴ καὶ τῶν ἄλλων τεχνῶν) πορίζεσθαι πέφυκεν. Ὥρα λοιπὸν καὶ ἐς αὐτὴν μεταβῆναι τῶν τοῦ πολιτικοῦ λόγου μερῶν ἔρευναν, ἣν ὡς συμφορωτάτην ἔγνωμεν τοῖς μαθητιῶσιν, οἷα δὴ ἣν ἐκ πρώτης ἀφετηρίας ὅσον οἷόν τε ἐξακριβῶσαι προεστησάμεθα:

Μέρη

βαίνουσά ποτε ποταμόν, ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δὲ ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς. Ἐχῖνον δὲ πλανώμενον ὡς εἶδεν αὐτὴν κατοικλήροντα ἐρωτᾷν ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς, τὴν δὲ οὐκ ἐᾶν. ἐρωμένου δὲ διατί; φάναι ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα. ἐὰν δὲ τούτους ἀφέλῃς, ἕτεροι ἐλθόντες πεινῶντες, ἐκπίονταί μου τὸ λοιπὸν αἷμα. ἀτὰρ οὖν καὶ ὑμᾶς ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει. πλούσιος γάρ ἐστιν. ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες: Δεῖ δὲ ἐν τούτοις ὡς οἷόν τε τὸ ὅμοιον ὁρᾶν. παραδείγματος γὰρ ἀρετή, τὸ παραπλήσιον εἶναι, οὗ παράδειγμα ἕπεται. ὡς ἂν διὰ τῆς ἐνούσης ὁμοιότητος ἐκείνου, δηλωτικόν τε καὶ πιστικὸν γίγνηται:

Εἴδη δὲ εἴτ' οὖν γένη τῶν λόγων (ἀμφοτέρως γὰρ φίλον τὸν Ἀριστοτέλη προσαγορεύειν) παρὰ πάντων τρία ὡμολόγηται ταῦτα. ἐν οἷς πᾶσα ἡ τῶν Ῥητόρων ὑπεπερατοῦται τερθρεία τε καὶ σπουδὴ ἐκπεραίνεται, καὶ ὡς εἰπεῖν ἀνεκφοίτητος. Τὸ δημηγορικὸν δῆθεν. οὗ πολὺν λόγον ἐν ταῖς βουλαῖς ποιοῦσιν οἱ Ῥήτορες. Τὸ δικανικόν, ᾧπερ ἐν δικαστηρίοις οἱ ἀμφισβητοῦντες πρὸς ἀλλήλους διαγωνίζονται. καὶ παρὰ ταῦτα Τὸ πανηγυρικόν. ὃ τοῖς πανηγυρίζουσιν ἀποκεκλήρωται. οὐχ οὕτω μέντοι παντάπασιν ἀλλήλων εἰσὶν ἀνεπίδεκτα, ὡς ἀσεβὲς εἶναι νομίσαι κατηγορίας τοὺς συμβουλεύοντας ἅπτεσθαι, ἢ προτροπῆς τοὺς δικάζοντας. ἔστι γὰρ ὅτε καὶ ἐπιμίγνυνται ἀντὶ ὕλης ἀλλήλοις καθιστάμενα. τὸ δὲ μήτε ὑπὲρ ταῦτα, μήτε ἐντὸς τούτων τὸν πολιτικὸν λόγον ἐγκλείεσθαι, ὁ μὲν Ἀριστοτέλης ἐς τοὺς ἀκροατὰς ἀναφέρει, ὅτι τρεῖς οὗτοι. καὶ τὴν αἰτίαν ἐπάγει. ὁ γὰρ ἐπαΐων ἢ θεωρός ἐστι καὶ τοῖς πανηγυρίζουσιν ἴδιος καὶ κριτής, καὶ εἰ μὲν περὶ μελλόντων, τοῖς δημηγοροῦσιν ἀκούειν ἐπιποθεῖ. εἰ δὲ περὶ γεγονότων, τοῖς ἀμφισβη-

τοῦσιν

καὶ τοῦ μηδὲν ἐπιτρέπειν συγχωρεῖν τοῖς μέγα δυναμένοις τῶν πολιτῶν τὴν παρὰ τοῦ πλήθους ἰσχύν, παράδειγμα καθέστηκεν ἡ τοῦ Πεισιστράτου ἐπίθεσις, καὶ ὅλως τὰ τοῖς ἄλλοις κατορθώματα, ἢ συμφοραί, ἑτέροις διδάγματα γίνεται. Τὸ δ' αὐτὴν ποιεῖν (ὃ δεύτερον εἶδος εἰρήκαμεν τοῦ παραδείγματος) διεῖλεν ὁ Ἀριστοτέλης διχῇ, εἴς τε τὴν παραβολήν, καὶ τὸν λόγον ἤτοι μῦθον. Ἔστι δὲ παραβολή, παράδειγμα ἀπὸ τῶν φύσει καὶ ὁσημέραι γιγνομένων λαμβανόμενον. οἷον ὅτι οὐ δεῖ τοὺς ἐπιτιμῶντας τῶν φίλων ἀποστρέφεσθαι, τοὺς δὲ κολακεύοντας προσίεσθαι. καὶ γὰρ παράφορος ἂν εἴη, ὃς τοὺς μὲν ἐπιστήμονας τῶν ἰατρῶν ἀποκρούσαιτο, ὅτι τοῖς αὐστηροῖς τῶν φαρμάκων τὴν θεραπείαν χαρίζονται, τοὺς δὲ ἠπίοις καὶ προσηνέσιν ἀπολούοντας ἀσπάζοιτο. κἀκεῖνο οὐκ οὖν θέμις πλουτίνδην ἐκλέγεσθαι τοὺς ἀρχιερατεύσοντας, ἀλλὰ μὴ ἀριστίνδην. ὅμοιον γὰρ ὥσπερ εἴ τις τῷ μὲν ἀκριβῶς εἰδότι τὰ τῆς ποιμαντικῆς τὴν τοῦ ποιμαίνειν οὐκ ἐπιτρέπει φροντίδα, τῷ δὲ ἀβελτερωτάτῳ, εἰ τύχοι δὲ καὶ βαρυτάτῳ, φέρων ἐγχειρίζει τὸ ποίμνιον, οὔτε χωρίων ἐπισταμένῳ τὰ ἔνυδρα καὶ ἐπίνομα, οὔτε λύκοις προσπολεμῆσαι, οὔτε τὸ ἀρρωστοῦν ἐπισκέψασθαι, ὃ δὴ ποιμένος ἐστὶν ἀρετή, ἀπό τε νομῶν καὶ ἐπὶ νομὰς εἰσελάσαι τε καὶ ἐξελάσαι, οὔτε εἰδότι, οὔτ' ἐθέλοντι. (Ἕτερον) Ῥᾷστον ἡ μοχθηρία, καὶ πρόχειρος εἰς κακοῦ μεσιτείαν ὁ δρόμος. θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἢ ἀρετῆς βαθείας κατὰ μικρόν. ἐπεὶ καὶ μέλιτι μὲν μικρὸν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ. μέλι δὲ, οὐδὲ τὸ διπλάσιον, ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος. καὶ μικρὰ μὲν ἀποσταχθεῖσα ψεκάς, ποταμὸν ὅλον ἐλκύσειεν ἂν ἐπὶ τὸ πρανές, ἐπισχεῖν δὲ ἢ ἀνακόψαι, μόλις ἂν δυναθεῖεν καὶ τὸ καρτερώτατον ἔρυμα. Μύθου δὲ παράδειγμα ἐστὶν ἰδεῖν καὶ ἐπὶ πολλῶν τῶν ἄλλων. ὃ δὲ Ἀριστοτέλης ἐκφέρει, τοιοῦτόν ἐστιν. Αἴσωπος ἐν Σάμῳ συνηγορῶν δημαγωγῷ κρινομένῳ περὶ θανάτου, ἔφη. Ἀλώπεκα δια-

πυρὸς σημεῖον. καὶ τοῦ ζῆν τὸ ἀναπνεῖν. Ἐνθυμήματος ἔστω παράδειγμα τόδε. Καὶ αὐτοῖς δὲ τοῖς φιλαπεχθῶς διακειμένοις ἐν ἐπαίνου λόγῳ ἦν, οὕτως ὑπῆρχεν αἰδέσιμος τῆς ἀρετῆς ὁ ἀνήρ: Ἐπαγωγὴ λόγος ἐστὶν ἀπὸ τῶν καθέκαστα καὶ γνωρίμων, τὶ τῶν καθόλου ἄγνωστον συνάγων. ὅθεν καὶ ἐπαγωγὴ εἴρηται διὰ πολλοῖς τοῖς κατὰ μέρος ἀπηριθμημένοις καὶ ὁμολογημένοις ὁλικόν τι ἐπάγουσα. τοιοῦτον ἐστὶ τὸ Δημοσθένους ἐν τῷ δευτέρῳ κατὰ Φιλίππου. ἔνθα βουλόμενος τὸ ἄπιστον παραστῆσαι τῆς ἐκείνου γνώμης. καὶ Ἀθηναίους φησὶν ἐξηπατηκέναι τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ Ὀλυνθίους, καὶ τὰ τελευταῖα Θετταλούς. μέχρι ὅλως δὲ οὐδείς ἐστιν ὅντινα οὐ πεφενάκικεν ἐκεῖνος. καὶ ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων, τὸ τοῦ Φιλίππου δυνατὸν ἵνα διαλύσαι προθέμενος, ἐπαγωγῇ κέχρηται τοιᾷδε. Τὰ Θετταλῶν ἄπιστα ἐστὶν αὐτῷ καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν καὶ τὰ ἑξῆς. Τὸ δὲ παράδειγμα ὅσον ἐστὶν ἀναλέξασθαι, ἐξ ὧν ἄλλοθι καὶ ἐπὶ τοῦ παρόντος εἴρηται τῷ φιλοσόφῳ, λόγος ἐστὶ τινὸς τῶν κατὰ μέρος ἀγνοουμένου διὰ μέρους γνωρίμου τε καὶ πιστοῦ δεικτικός. δεῖ γὰρ τὸ παράδειγμα καὶ μερικὸν εἶναι, καὶ τοιούτου τινὸς ἕνεκεν ἐκ τε τῶν προϋπαρξάντων, ἢ ὡς προϋπαρξάντων εἰλῆφθαι, οὐδ᾽ ἐξ ἀδόξων, ἢ προσώπων, ὅταν ἐς μίμησιν ἐπιφέρεται, ἢ γοῦν πραγμάτων, ἀλλ᾽ ὁμοίως παρὰ πᾶσι νομιζομένων. Τῶν δὲ παραδειγμάτων δύο φησὶν εἴδη ὁ Ἀριστοτέλης. ὧν θάτερον μὲν ἐστὶ, τὸ τὰ προγεγενημένα λέγειν, θάτερον δὲ τὸ αὐτὸ αὐτὸν ποιεῖν. καὶ τοῦ μὲν πρώτου εἴδους παράδειγμά ἔστω τὸ τοῦ Δημοσθένους. οὕτω. Εἰ μὲν Ἀθηναῖοι Στρατοκλεῖ καὶ Ἱέρακι δεομένοις συγκατέθεντο, εἶχον ἂν τότε τὴν Ἀμφίπολιν, καὶ πάντων τῶν μετὰ ταῦτα ἂν εἶεν ἀπηλλαγμένοι πραγμάτων. ταύτῃ δὲ εἰ Ὀλυνθίους πρεσβευομένους προήσονται, μείζονα καταστήσουσι τὸν Φίλιππον, ἐξὸν καθελεῖν καὶ ῥᾴονι τοῦ λοιποῦ χρῆσθαι, ὡσαύτως

Ἐπαγωγή.

Παράδειγ.

καὶ

ἐοικότι καὶ Ζήνων, τὴν μὲν ἐκτεταμένῃ εἴκαζε παλάμῃ, συνεσταλμένῃ δὲ τὴν διαλεκτικήν. Τὰ λοιπὰ δὲ δύο, Ῥήτορσιν ἰδιάζοντα. ἀνάλογον μὲν συλλογισμῷ τὸ ἐνθύμημα. ἐπαγωγῇ δὲ τὸ παράδειγμα. Ἔστι δὲ συλλογισμὸς (ὡς ἐν πολλοῖς ὥρισται τῷ φιλοσόφῳ) λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. Ἐνταῦθα γένος μὲν ὁ λόγος, τὸ ἑτερογενῶν διακρίνει τὸν συλλογισμόν. τὰ δὲ λοιπὰ διαφορὰς ἀναπληροῦντα λόγον, πρὸς διάκρισιν τῶν ἑτερογενῶν εἴληπται. Σύγκειται δὲ πᾶς συλλογισμὸς δυοῖν προτάσεων, καὶ τῷ ἐκ τούτων συναγομένῳ συμπεράσματι. Τεθέντων δὲ εἴρηται, ἐπειδὴ τὰς προτάσεις ὁμολογουμένας εἶναι χρεών. Ἕτερον δέ τι τῶν κειμένων, διὰ τὸ συμπέρασμα, ὃ τῶν προτάσεων ἢ τοιοῦτον, ἐστὶν ἕτερον.

Συλλογισ.

Ἀποκείσθω δὲ παράδειγμα τοῦ κατὰ Ῥήτορας συλλογισμοῦ τόδε. Καὶ αὐτοῖς δὴ τοῖς φιλαπεχθῶς διακειμένοις ἐν ἐπαίνου λόγῳ ἦν. Θαυμάζειν γὰρ ἀνδρὸς ἀρετὴν οἶδε καὶ πολέμιος. οὕτως ὑπῆρχεν ἀοίδιμος τὴν ἀρετὴν ὁ ἀνήρ.

Παράδειγ.

Ἐνθύμημα δέ ἐστιν, ἀτελὴς συλλογισμός, ἐξ εἰκότων ἢ σημείων. ὅταν γὰρ θατέρας τῶν εἰρημένων προτάσεων ὁ συλλογισμὸς ἀπολείπηται, ἐνθύμημα εἴωθε λέγεσθαι. τοῦτο γὰρ καὶ αὐτὸ παρίστησι τοὔνομα, ἀπὸ τοῦ ἐνθυμεῖσθαι ἤτοι ἐν μνήμῃ τοῦ ἀκροατοῦ τὴν ἑτέραν καταλιμπάνειν τῶν προτάσεων λεγόμενον: Γίνεται δὲ ἐξ εἰκότων καὶ σημείων. Καὶ εἰκὸς μέν ἐστι, πρότασις ἔνδοξος τῶν ὡς ἐπὶ πολὺ γινομένων, ἢ μή. οἷον εἴ τις εἴποι, ὕσει, ἡ γὰρ ὥρα χειμέριος. Τὸ δὲ σημεῖον τριχῶς θεωρηθῆναι ἐνδέχεται. τὸ μὲν γὰρ ἐπὶ πλέον ἐστὶν οὗ λέγεται. οἷον ἡ γυνὴ ὅτι ἔγγυος σημεῖον, ὠχριᾷ γάρ. Τὸ δὲ ἐπ' ἔλαττον, ὡς εἴ τις εἴποι, Σταγειρῖται σοφοί, τοιοῦτος γὰρ ὁ Ἀριστοτέλης Σταγειρίτης ὤν. Καὶ παρὰ ταῦτα, τὸ ἀναστρέφον, ὅπερ καὶ τεκμήριον λέγεται, καὶ μόνον τῶν σημείων ἐπείπερ ἂν ἀληθὲς ᾖ, οὐδαμῶς ἐστὶ λύσιμον. ὡς ὁ καπνὸς τοῦ πυρός

Ἐνθύ-μημα.

ὅτι δι᾽ ἣν αἰτίαν ἐκλείπει ὁ ἥλιος, παρά τι οὐκ ἀγαθὸν ὁ πρὸς ὁμόρους πόλεμος. Ἡ δὲ πίστις πολυσήμαντός ἐστι φωνή. πῆ μὲν ἐπὶ τοῦ πιστεύοντος λέγεται καὶ ἔστιν ὑπόληψις περί τινος τῶν δοκούντων, ἢ κοινῇ ἤγουν τῷ πεφυκότι. πῆ δὲ τοῦ πιστικοῦ λόγου τὴν ὕλην, καὶ ἔστι στοιχεῖον ἢ τόπος ἐπιχειρήματος ἔνδοξος, δι᾽ οὗ δύναται ἄν τις πειθὼ ἀπεργάσασθαι. ἔστι δ᾽ ὅτε καὶ ἀντὶ θάῤῥους ἐκλαμβάνεται. ὡς τὸ πίστιν ἔχειν, καὶ διδόναι πίστιν, καὶ λέγεσθαι. Κατὰ γοῦν τὸ δεύτερον σημαινόμενον ὁ Ἀριστοτέλης ἐπὶ τοῦ παρόντος γενικῶς τὴν πίστιν διέτεμε· τὰς μὲν προϋποκειμένας καὶ μὴ διὰ τῆς μεθόδου πορίζομένας τῷ Ῥήτορι, ἀτέχνους ἐκάλεσεν. οἷαι εἰσί, νόμοι, συνθῆκαι, μαρτυρίαι, βάσανοι, ὅρκοι. Καὶ νόμος μὲν ἐστὶ καθ᾽ αὐτὸν τοῦτον ὁμολόγημα πόλεως κοινόν, διὰ γραμμάτων προστάττον πῶς χρὴ πράττειν ἕκαστα:

Νόμος.

Ὥσπερ ἡ συνθήκη παραφυάς οἷά τις παρατέθειλε, νόμους οὖσα τῶν κατὰ μέρος τισὶν ἴδιος.

Συνθήκη.

Μαρτυρία δὲ, ὁμολογία ἐστὶ συνειδότος ἑκούσιος.

Μαρτυρία.

Καὶ παρὰ ταῦτα ὅρκος, ἡ μετὰ θείας παραλήψεως φάσις ἀναπόδεικτος.

Ὅρκος.

Ἐντέχνους δ᾽ αὖ ὅσα καὶ εὑρέσεως καὶ οἰκονομίας δέονται τῆς τοῦ Ῥήτορος μετὰ τέχνης. ἃς καὶ τρισὶ τούτοις διδάσκει συνίστασθαι· τῇ τε τοῦ λέγοντος ἐπιεικείᾳ. καὶ τῇ περὶ οὗ λέγει ἀποδείξει. καὶ ὑπὲρ ταῦτα, τῇ ποιᾷ τοῦ πρὸς ὃν ὁ λόγος διαθέσει. Ἐπεὶ δὲ αὗται ὕλης ἐπέχουσι λόγον, ἤπου καὶ εἴδους δέονται. οὐ γὰρ ἐντεῦθεν ἔχει λαβὼν ὕλην ὁ Ῥήτωρ, οὐ φύρδην καὶ ἀκατασκεύως κέχρηται. ἀλλὰ πολυτροπώτερον ῥυθμίσας καὶ οἱονεὶ μορφώσας τοῖς ἐπιχειρήμασι κατὰ τὸ δέον, ἐπάγει τοῖς πράγμασιν εὐκατάσκευον. Εἰσὶ δὲ τῶν ἐπιχειρημάτων κατ᾽ Ἀριστοτέλη ἐνταῦθα δοκεῖ, τὸν ἀριθμὸν τέτταρα. Συλλογισμός. Ἐπαγωγή. Ἐνθύμημα. Παράδειγμα. ὧν τοῖς μὲν δυσὶ πρώτοις, Διαλεκτικοὶ ὡς οἰκείοις χαίρουσι. κέχρηνται δὲ καὶ Ῥήτορες, ἀλλ᾽ ὑπτιώτερόν πως καὶ πλατύτερον ἐκφέροντες. ὁ γὰρ Ῥήτωρ εὐρύτερος μὲν διαλεκτικοῦ. τούτου δ᾽ ἐκεῖνος ἐστὶν ἀκριβέστερος.

εἰ-

ὅρου μονομερής. καὶ ἀντίθεσιν, ἥτις περιέχει τὰς τέσσαρας ἀντιθετικάς. Ἀντίστασιν. Ἀντέγκλημα. Μετάστασιν. Συγγνώμην. Τῶν δὲ νομικῶν, ὅσαι περὶ τὸ αὐτὸ ῥητόν εἰσι, τῆς μὲν τοῦ ῥητοῦ κεχωρισμένου τοῦδε τῇ διανοίᾳ, ῥητὸν καὶ διάνοια ἤκουσε. ἐν οἷς γὰρ ἀπὸ τοῦ ἐγγράφου καὶ ἔγγραφόν τι συνάγεται, συλλογισμός. ἐπειδὰν δὲ ἡ ζήτησις περὶ δύο ἢ καὶ πλείω ῥητὰ εἴη ὑπεναντία, ἀντινομία. ἀμφιβολία τε παρὰ ταύτας καὶ τελευταία ἡ μετάληψις, ἣ καὶ παραγραφὴ λέγεται. καὶ ταῦτα μὲν Ἑρμογένης. Ὁ δὲ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν ὑστέρων ἀναλυτικῶν, εἰς τέσσαρα διεῖλε τὴν τῶν ζητουμένων συμπλήρωσιν. ὅτι ἐστί. διατί ἐστι. καὶ εἰ ἔστι. τί ἐστιν. ἐφ' ἑκάστου γὰρ τῶν ἀμφισβητουμένων πράγματός τινος ἐπιζητεῖται γνῶσις. αὕτη γὰρ τετραχῆ τὴν διανομὴν εἴληχεν. Εἰ γὰρ περὶ τῆς ὑπάρξεως ἁπλῶς ἀμφισβητουμένου τοῦ πράγματος, ὃ καὶ συνίστασθαι [illegible], εἰ ἔστι ζητοῦσιν. Ἢ τούτου ὁμολογουμένου, περὶ τοῦ ὅρου διαφερόμεθα, κἀντεῦθεν ἀνακύπτει ἡ τοῦ, τί ἐστι ζήτησις. Ἢ πάλιν καὶ τούτου κειμένου, τίνα εἰσὶν ἅπερ ἐκείνῳ συμβέβηκε σκεπτόμεθα, ταὐτὸν δὲ ἐστιν, ὁποῖόν τι ἐστὶ τὸ κείμενον, ἐξ οὗ ἡ τοῦ ὅτι προέρχεται ζήτησις, περὶ τὴν τοῦ ὑποκειμένου στρεφομένη ποιότητα. Ἂν δὲ καὶ τοῦτο προσαποδοθείη, λοιπὸν εἴη διαμφισβητοῦσι περὶ τῆς αἰτίας, δι' ἣν τοιόνδε ἐστὶ τὸ ὑποκείμενον. τοῦτο δὲ ἐστι, τὸ διατί ζητεῖν.

Εἰ γοῦν ἰσάριθμα δεῖ εἶναι τοῖς γινωσκομένοις τὰ ζητούμενα, τέσσαρα δὲ ταῦτα, ἀνάγκη πᾶσα κἀκεῖνα εἶναι τοσαῦτα. τί οὖν πρὸς ταῦτα ῥητέον; ἢ ὅτι καλῶς ὁ Ἑρμογένης τὴν τετραμερῆ παρῆκε τοῦ Ἀριστοτέλους διαίρεσιν, ἅτε δὴ μὴ τὴν κατὰ φιλόσοφον ἀκριβῆ πραγματευόμενος ἔρευναν, καὶ μὴν καὶ τὸ τέταρτον ἐκείνης μέρος, τὴν διατί δηλαδὴ ζήτησιν παρέλειπεν. αὕτη γὰρ ἡ περὶ τὴν αἰτίαν πολυπραγμονεῖ λαχοῦσα, εἰ μὲν ἐπ' ἀσυμπλόκου τινὸς καὶ ἀσυνθέτου θεωρεῖται, οἷον δι' ἣν αἰτίαν Φίλιππος ζητεῖ τὴν εἴσω πυλῶν παρέλευσιν. ἢ ἐπὶ συμπεπλεγμένου τε καὶ συνθέτου, ὃ καὶ σπάνιον παρὰ Ῥήτορσιν.

ἔσονται ἀποδεικτικῶς. ὁμοίως δὲ καὶ ὁ ἀνελὼν τὴν πρὸς ἑτεροδόξους φιλίαν, συνανεῖλεν (οὕτως εἰπεῖν) καὶ τὴν μεταξὺ Πεισιστράτου καὶ Σόλονος. Ἡ μέντοι Ῥητορικὴ τῶν κατὰ μέρος ἐστὶ θεωρητική τε καὶ πιθανουργική. ἔστι γὰρ πολιτικὸν ζήτημα (ὡς Ἑρμογένης ὡρίσατο) ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους, ἐκ τῶν παρ' ἑκάστοις κειμένων νόμων ἢ ἐθῶν, περὶ τοῦ νομισθέντος δικαίου, ἢ τοῦ καλοῦ, ἢ τοῦ συμφέροντος, ἢ καὶ πάντων ἅμα, ἢ ἐνίων. τὴν δὲ τῶν καθόλου καὶ ἀληθῶν ἔρευναν, φιλοσόφοις ἡ Ῥητορικὴ παρίησι, τὸ εἶναι τῶν ὄντων οὐ τὸ δοκοῦν πολυπραγμονοῦσιν. εἰ δέ που καὶ Ῥήτορες ἅπτονται τῶν καθόλου, τοῦτο ἐφ' ὅσον αἱ τῶν κατὰ μέρος ἐργασίαι τῶν τῶν καθόλου ἐμπεριέχονται, δρῶσιν. οὐ μὴν ἡγείσθω τις κατὰ μέρος ἡμᾶς λέγειν ἐνταῦθα τὰ ἑνὶ μόνῳ δοκοῦντα. ὧν ἀορίστων ὄντων, ἀδύνατον καὶ νόμοις δίδοσθαι, καὶ τεχνικῷ τινι κανόνι τὴν περίληψιν ποιῆσαι. ἀλλὰ τὰ τοιῶσδε, ἢ τοιῶσδε ἔχουσιν. οἷον Ἀθηναίοις ἢ Λακεδαιμονίοις. Ἑκάτερον δὲ τῶν ἐκτεθέντων γενῶν, εἰς τρία τὴν διανομὴν εἴληχεν. εἰς ἃ καὶ πᾶσαι αἱ τῶν ῥητορευόντων στάσεις ἀνάγονται. τρεῖς γὰρ τὰς ἀνωτάτω ζητήσεις οἱ περὶ Ἑρμογένην τίθενται. εἰ ἔστι. τί ἐστιν. ὁποῖόν τί ἐστιν. ὧν τὸ μὲν πρῶτον διὰ τοῦ στοχασμοῦ θηρώμεθα. Ἔστι γὰρ στοχασμὸς, ἀδήλου πράγματος ἔλεγχος οὐσιώδης ἀπό τινος φανεροῦ σημείου, ἢ ἀπὸ τῆς περὶ τοῦ προσώπου ὑποψίας. Εἰ δὲ φανερὸν μὲν ᾖ τῇ οὐσίᾳ, δεόμενον δὲ προσθήκης εἰς ἀναπλήρωσιν, ποιεῖ τὴν ζήτησιν περὶ τὸ ἐλλεῖπον, καὶ ἡ στάσις ὁρικὴ προσαγορεύεται, ὡς περὶ τὸν ὅρον τοῦ προσκληθέντος συνισταμένη. Ἂν μέντοι δῆλον καὶ ἐντελὲς ᾖ τὸ κρινόμενον, ἡ ζήτησις περὶ τὴν ποιότητα τοῦ πράγματος ἵσταται. ἣ καὶ γένος οὖσα, ἢ περὶ πρᾶγμα θεωρεῖται καὶ ποιεῖ τὰς λογικὰς στάσεις, ἢ περὶ ῥητὸν καὶ ποιεῖται τὰς νομικάς. Καὶ τῶν περὶ πρᾶγμα, ὅταν μὲν περὶ μέλλοντος ζητῶσι, πραγματικαὶ ἤκουσαν. ὅταν δ' αὖ περὶ παρῳχημένου, γενικῶς μὲν δικαιολογία. ἥτις προσεχῶς μὲν τέμνεται εἰς ἀντίληψιν, ἥτις

ὄργανον συγκροτῆσαι, δι' οὗ ἔχοιμεν ἐν μὲν τοῖς κατὰ θεωρίαν τοῦ ψεύδους τὸ ἀληθές, ἐν δὲ τοῖς πρακτικοῖς τῶν φαύλων τἀγαθὰ διελεῖν. μόνη δὲ ἡ Ῥητορικὴ πᾶσαν περὶ τὸ πιθανὸν καταβάλλεται τὴν σπουδήν. καὶ τοῦτο περὶ τοῦ δοθέντος ἁπλῶς δύναται θεωρεῖν: Οὐ γὰρ ἀφώρισται περί τι γένος ἡ τῆς Ῥητορικῆς ὕλη, οἷα δὴ τῶν λοιπαῖς τέχναις. τέκτονι φέρε εἰπεῖν ξύλα. χαλκεῖ δὲ μέταλλα. καὶ καθεξῆς ὡσαύτως. ἀλλ' ἐφ' ὁτιοῦν ἡ Ῥητορικὴ ἐπεκτείνεται τῶν συμπιπτόντων τῶν ἐν πολιτείαις ζητημάτων, πλὴν τῶν ἀσυστάτων. Ἔργον δ' αὐτῆς οὐ τὸ πεῖσαι πάντως, οὐδὲ γὰρ τεκτονικῇ τὸ τὴν κλίνην εἰς ἔργον προαγαγεῖν, ἀλλ' εἰδέναι ὡς ἂν προαχθείη εἰ μή τι τῶν ἐκτὸς διακώλυμα παρεμπέσοι. οὕτω τοι καὶ Ῥητορικῇ τὸ ἐπίστασθαι περὶ ἑκάστου τῶν προβληθέντων, οὐ διδακτικῶς, ἀλλὰ πειστικῶς εἰπεῖν. ὅθεν καὶ τῶν ἐναντίων ἐστὶ διὰ τῶν κοινῶν καὶ ἐνδόξων κατασκευαστική: Τὸ δὲ τοῦ Ῥήτορος ἔργον, τέτραχα διανενέμηται, κατὰ τὰ τέσσαρα τῆς Ῥητορικῆς μέρη. ἐν οἷς πρώτη μὲν καὶ οὐδαμῶς εὐλήπτος, ἡ τῶν Ῥητορικῶν προβλημάτων καὶ στάσεων θεωρία ἐστί. μεθ' ἣν ἡ τῶν πίστεων εὕρεσις. οὐχ ἧττον τὸ πολυμερὲς ἢ χρήσιμον ἔλαχε. καὶ παρὰ ταύτας ἥ τε τῶν εὑρεθέντων διάθεσις, καὶ τῶν λέξεων ἐκλογὴ καὶ ὑπόκρισις τῶν αὐτῶν:

Τῶν δὲ προβαλλομένων εἴτουν ζητουμένων, γένη εἰσὶ δύο. τὰ μὲν γὰρ συντείνει πρὸς αἵρεσιν καὶ φυγήν. οἷον εἰ πολεμητέον Φιλίππῳ. τὰ δὲ πρὸς γνῶσιν μόνον. οἷον πότερον ὁ κόσμος σφαιροειδής, ἢ οὔ. Τούτων δὲ τὰ μέν εἰσι καθόλου, ὅσα καὶ τῶν πειστικῶν ἐξῃρημένα. οἷον εἰ ὅλως πολεμητέον. τὰ δὲ ἐπὶ μέρους. ὡς τὸ εἰ προσήκει Ἀθηναίους ἄρασθαι τὸν κατὰ Φιλίππου πόλεμον ὑπὲρ Ὀλυνθίων, ἐπὶ ἄρχοντος Καλλιμάχου. Ἔστι δ' ἐν ἑκατέρῳ τῷ γένει κοινὰ τὰ καθόλου κατασκευαστικὰ καὶ ἀνασκευαστικά. ὁ γὰρ δείξας παντὶ γαμητέον εἶναι, καὶ τῷ Σωκράτει πάντως καὶ Πλάτωνι

ἔσται

Ἀμέλει τοι ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν πρὸς Θεοδέκτην, δύναμιν φησὶν τὴν Ῥητορικὴν εἶναι περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν. δύναμιν δὲ ἐνταῦθα οὐ φυσικήν τινα δεξιότητα ὑποληπτέον, ὃ δή τινες περὶ Ῥητορικῆς ἐφαντάσθησαν. ἀλλ' ἣν συνίστησι γυμνασίας συνέχειαν, τῆς περὶ τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ἐνεργείας. ἥτις καὶ τέχνη ἐστίν. ὃ περὶ αὐτῆς ὁ Ἀριστοτέλης πολλαχοῦ ἀποφαίνεται. ὃ γὰρ πράττειν πεφύκασιν ἄνθρωποι, χαλεπῶς μέντοι καὶ σπανίως, ῥᾳδίως δὲ καὶ ὡς τὰ πολλὰ ἐθισθέντες, τοῦτο, καὶ τὴν αἰτίαν προσλάβοιεν, τέχνη γίνεται. τοιοῦτον δὲ ἡ Ῥητορική. καθ' ἣν καὶ πάντες φύσει μέχρι τοῦ ἐνεργεῖν, καίπερ εἰκῆ καὶ ἐπισφαλῶς. ἐν ἕξει δὲ γινόμενοι διὰ συνηθείας οὐκ ἔτι, ἀλλὰ ῥᾷστα καὶ ἐμμελῶς. ἐνδέχεται δὲ καὶ αἰτίαν θεωρεῖν. ὅτι τίνα, καὶ τίνι τρόπῳ σχηματισθέντα τοὺς τοιούσδε πείθουσιν ἀκροατάς, ἄλλως μὲν τοὺς πρὸς ἡδονὴν ἢ κέρδος ἀφορῶντας, ἑτέρως δὲ τοὺς φιλοδοξοῦντας. καὶ ὧδε μὲν ὄχλον, οὕτω δ' αὖ σοφοὺς καὶ τῷ δικαίῳ προσέχοντας. ὡσαύτως δὲ καὶ τοιῶσδε μὲν συντεθὲν προοίμιον, τοιῷδε τῷ λόγων γένει ἐφαρμόττει. ἄλλως δέ, ἑτέρῳ καὶ πρὸς ἑτέρους. καὶ τῶν λοιπῶν ὁμοίως. τέχνη ἄρα ἡ Ῥητορική. Ἡ δὲ τέχνη ἕξις ἐστὶ ποιητικὴ μετὰ λόγου. ἕξις δὲ οὖσα, καὶ ποιότης ἀναγκαίως. ἡ γὰρ ἕξις ποιότης ἐστὶν ἐπείσακτος τῶν τῆς ψυχῆς δυνάμεσι, καθ' ἣν τοιῶσδε τὸ ζῷον ἔσχηκεν, ἢ πρὸς ἑαυτό, ἢ πρὸς ἕτερον. οὐκοῦν ἡ Ῥητορικὴ καὶ ποιότης ἐστὶν ἢ ἕξις, καὶ ἕξις ἢ τέχνη, καὶ τέχνη περὶ λόγους ἢ λογική. Ἀλλ' ὁ λόγος οὗτος ἀληθὴς μέν, οὔπω δὲ Ῥητορικὴν ἀποκεκριμένος, ἐπεὶ καὶ γραμματικῇ ἐφαρμόττειν καὶ διαλεκτικῇ ἐνδέχεται. οὗ χάριν προσείληπται τό, περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν. καθ' ὃ ἀντιδιαστέλλεται μὲν τῆς γραμματικῆς, ὡς μόνην τὴν ὀρθότητα καὶ σημασίαν σπουδαζούσης τοῦ λόγου. διακρίνεται δὲ καὶ τῆς διαλεκτικῆς, ἧς ἔργον κανόνα καὶ

θορίῳ καὶ ἐμπειρίας τεταγμένοι, τῷ μὲν τῷ ἐπιρρέοντι σάλῳ ὡς ἐξ χωρίου ἀπαντῶντες, καὶ θατέρας ὑποχωροῦντας ἀντέχεσθαι. ἡ μὲν γὰρ ἡμῖν κἂν ἐπείσακτος, ἀλλὰ τῆς χρείας συντελοῦσα τοῦ βίου. ἡ δὲ πατρῷον κτῆμα ἀνέκαθεν. ἧς εἰ καὶ τὸ ἄνθος ὁ δαίμων αὐτοῖς κλάδοις ἀπέκειρεν, ἐμμένει μέντοι τὰ σπέρματα κρείττω δαιμονίας ἐπηρείας τῇ φύσει συμμεταδιδόμενα. σφαδάζει τε διηνεκῶς ἐπὶ τὴν ἔκφυσιν, καὶ ὀργᾷ εἴ πού ἀνατεθηλυῖα πάλιν ὑποκρίσειεν, ὅσα καὶ φυτὸν εὐγενές. ἀπορίᾳ δὲ τοῦ μαιευσομένου μένει ἀτελεσφόρητα. καὶ τοῦτό ἐστι τὸ αἴτιον ἀεὶ καὶ οὐκ ἐῶν ὑμῶν ἠρεμεῖν τὴν ψυχήν. ὃ κἀμοὶ τό γε νῦν ἔχον φοιτῶν καταναγκάζει ὡς δῆθεν ἐμπείρῳ τὰ περὶ τὴν μαίευσιν. Ἐγὼ δὲ τῆς φύσεως ὑμᾶς ἐπαινῶν, αἰσχύνομαι μὴ καὶ χαρίσασθαι. εἰ δὲ τοὐγχείρημα πόρρω ἐστὶν οὐκ ἐκτός, ἀλλ' ὑμῶν γ' ἕνεκα τὸν ἐνόντα τρόπον πειρατέον ἔδοξα τὰ σπαργῶντα ἤδη τῶν σπερμάτων εἰς φῶς ἀγαγεῖν. Ὑμεῖς δὲ κἂν ταῖς ὠδῖσιν ἐπείγησθε, μὴ πάνυ παρώσητε τὴν ἀπόδεξιν. οὐχ ὁ τυχὼν γὰρ ἐξ ἀμβλώσεως κίνδυνος τοῖς πρὸ ὥρας γλιχομένοις προϊέναι τὰ ἔκγονα.

Ὁ μὲν σκοπὸς ἡμῖν ἐπὶ τοῦ παρόντος, οὐ Ῥητορικῆς θεωρίας ἐξέτι τινα περὶ αὐτῆς ὁλόκληρον ἔκθεσιν παραδοῦναι. ἀλλὰ περὶ μερῶν τοῦ πολιτικοῦ λόγου, καὶ τῆς ἐκείνων διαθέσεώς τε καὶ χρήσεως διαλαβεῖν. σαφηνείας δὲ ἕνεκα καὶ τοῦ μὴ δοκεῖν (ὃ λέγεται) μῦθον ὑφαίνειν ἀκέφαλον, ὀλίγα ἄττα καὶ περὶ ὁλοσχεροῦς τῆς πραγματείας ὡς ἐν παρόδῳ προανακεκρουκότες, καὶ εἰς αὐτὴν μεταβησόμεθα τὴν τοῦ προκειμένου διαθήρασιν.

Τὴν Ῥητορικὴν τινῶν μὲν ἐμπειρίαν χρηματισάντων, τῶν δὲ τέχνην, ἐνίων δὲ αὐτῇ οὐδὲ τὰ τῆς ἐπιστήμης πρεσβεῖα νεῖμαι ἀποκνησάντων. ἡμεῖς καὶ τὸ σύντομον ἐπὶ τοῦ παρόντος, καὶ τὸ εὐπαρακολούθητον διώκοντες, τὰ μὲν τῶν ἄλλων παρέντες, ἃ περὶ αὐτῆς τῷ Ἀριστοτέλει ἔδοξεν (ὃν καὶ τοῦ λόγου ποδηγὸν ἐποιησάμεθα) διὰ βραχέων ὡς οἷόν τε ἀναπτύξωμεν.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΚΟΡΥΔΑΛΛΕΩΣ

τοῦ Ἀθηναίου. Τοῦ ὕστερον διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος Θεοδοσίου μετονομασθέντος. Ἔκθεσις περὶ Ῥητορικῆς.

ΠΡΟΟΙΜΙΟΝ.

Ἀεὶ μὲν ἔγωγε τὸ περὶ τὴν παιδείαν ὑμῶν ἀδαιμόνιστα πρόθυμον· καὶ τὸ ἀγενὲς οὐκ εἶχον μὴ ἀγασθῆς τῆς ὑμετέρας φύσεως. οἱ χρήματι πολυασχόλῳ τῇ ἐμπορίᾳ ἐσειλημμένοι, καὶ τῷ Εὐρίπου παλιρροιῶν ἀσταθεστέρῳ ῥεύματι τῷ τῶν πραγμάτων ὄχλῳ μεταφερόμενοι διηνεκῶς, καὶ ἀντιρρυπτόμενοι, οὐκ ἀνύετε ὅμως καὶ λόγων μεταποιούμενοι, τήν τε τῶν Ῥητόρων καλλιφωνίαν, τῶν μηδεμιᾶς ἀπολαυόντων φροντίδος τὰ δεύτερα φέρειν αἰσχυνέσθε. καὶ οὔτε τὸ χαλεπὸν τῆς εὑρέσεως διὰ τὸ δυσληπτον ἀπαμβλύνει τῆς προθυμίας τὸ εὔτονον, οὔτε τὸ συνεχὲς τῶν πόνων ῥαθυμοτέρους περὶ τὴν τούτων θήραν ἐργάζεται. Ἀλλ' οἱ μὲν τῶν πλεόντων πολλοί, κἂν σμικρὸς ὑπολάβῃ κλύδων, ἐκπλαγέντες τῇ ἀληθείᾳ, προΐενται μὲν τὴν σώζουσαν τέχνην, παραδιδοῦσι δὲ ἑαυτοὺς τῷ κύματι καὶ περικαταλείπονται τῆς νεώς. Ὑμεῖς δὲ ἅπερ φιλοσοφίας ἐν με-

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΚΟΡΥΔΑΛΛΕΟΣ.

Τοῦ Ἀθηναίου, τοῦ ὕστερον διὰ τοῦ θείου καὶ μοναχικοῦ
σχήματος Θεοδοσίου μετονομασθέντος,
Ἔκθεσις περὶ Ῥητορικῆς.

LONDINI
Ex Officina *W. S.* Typographi.
CIↃ IↃ C XXV.

τὰ αἰσθητήρια ὑπὸ τῆς γαστριμαργίας ἐν ἀφροσύνῃ πολιτεύεται. Ἀπάγγειλε δέ μοι καὶ τοῦτο Λαῦσος ὁ περίβλεπτος τριβοῦνος, ὁ γνήσιός σοι περὶ τὰ ἐσπουδασμένα. ὡς γυνή τις προσέλευσιν ἐποιήσατο ἐπὶ τῆς σῆς γαληνότητος ἐπ' ἀπωλείᾳ παιδὸς αὐτῆς φαρμακευθέντος, καὶ ὡς κέχρηται παρ' ἡμῶν φάρμακα μὲν μηδαμῶς εἶναι. ὃν δ' ἀναιρεῖσθαι ἢ ἐκείνοις μόνοις περιποιεῖσθαι, οἷς ἡ μάχη πρὸς τὰ θηρία. καὶ τοῦτο ὀρθῶς κριθὲν παρ' ἡμῖν, ξένον μοι φαίνεται. παντὸς γὰρ γέλωτος δεῖν ἀναμέσους. πῶς τὰ μεγάλα ἄλγη τῶν τραυμάτων μικροῖς φαρμάκοις θεραπεύειν ἐπιχειρεῖς; θεὸν γὰρ ὑβρίσας χηρῶν καὶ ὀρφανῶν μάτην πρόνοιαν ποιεῖς. τὸ μὲν γὰρ μανικὸν καὶ ἐπικίνδυνον. τὸ δὲ φιλοικτίρμον καὶ συμπαθές. ἐπαχθὲς γὰρ ἡμῖν λέγειν πρὸς βασιλέα; ἰδιώτας ὄντας. ἐπαχθὲς δὲ σοι φανήσεται, τὸ λέγειν πρὸς θεόν. οὐδεὶς μεσίτης θεοῦ καὶ ἀνθρώπων φανήσεται. Ἃ μέντοι ἀνέγνως, οὐκ ἔγνως. εἰ γὰρ καὶ ἔγνως, οὐκ ἂν κατέγνως.

Λιβάνιος ὁ Σοφιστὴς Ἰωάννῃ τῷ Χρυσοστόμῳ.

Δεξάμενός σου τὸν λόγον τὸν πολὺν καὶ καλὸν, ἀνέγνων ἀνδράσι λόγων αὐτοῖς δημιουργοῖς. ὧν οὐδεὶς ἦν ὃς οὐκ ἐπήδα τε καὶ ἐβόα καὶ πάντα ἔδρα τὰ τῶν ἐκπεπληγμένων. Ἥδομαι οὖν ὅτι τῷ δεικνύναι τὴν τέχνην ἐν δικαστηρίοις προτίθης τὰς ἀποδείξεις. καὶ μακαρίζω σὲ μὲν οὕτω δυνάμενον ἐπαινεῖν. ἐπαινέτου δὲ τοιούτου τετυχηκότας. τόν τε δόντα πατέρα, καὶ τοὺς λαμβάνοντας ὑμεῖς τὴν βασιλείαν.

Τέλος τῶν ἐπιστολῶν.

ΤΟΥ

Βασίλειος Ἰουλιανῷ χαίρειν.

Μικρά σοι τὰ τῆς παρούσης τύχης ἀνδραγαθήματα, καὶ φαῦλα τὰ τῆς ἀριστείας, ἧς αὐτὸς ἠρίστευσας καθ' ἡμῶν· οὐχὶ δὲ καθ' ἡμῶν, ἀλλὰ κατὰ σοῦ. ἐγὼ δὲ τρόμῳ συνέχομαι, ὅταν λάβω κατὰ νοῦ πορφύραν σε περιβεβλῆσθαι, ἐπὶ δὲ βασιλικὸν πρόβλημα, στέφανον δέ σου τὴν ἄτιμον κεφαλήν, ὅπερ δίχα τοῦ ἀεὶ δυσσεβείας ἐπικείμενον οὐκ ἔνδοξον, ἀλλ' ἄτιμον καθίστησί σου τὴν βασιλείαν. ἀλλ' αὐτὸς ἐπαναβὰς καὶ ὑπερμεγέθης γενόμενος, τῶν γε φαύλων καὶ μισοκάλων δαιμόνων ἐξώθησάν σε πρὸς τὰ τοιαῦτα. καὶ οὐ μόνον ὑπὲρ πᾶσαν φύσιν ἀνθρωπίνην ἦρξω φρονεῖν, ἀλλὰ καὶ εἰς θεὸν ὑπεραίρεσθαι, καὶ τὴν πάντων μητέρα καὶ τιθηνὸν Ἐκκλησίαν ὑβρίζειν ἐπιχειρεῖς. μηνύσας χρησάμενος πρός με τὸν εὐτελέστατον χιλιάδας χρυσίου λιτρῶν ἐξαποσταλῆναί σοι παρ' ἡμῶν. καὶ ἡ μὲν τοῦ χρυσίου ὁλκὴ οὐκ ἐθάμβησέ μου τὴν διάνοιαν, εἰ καὶ μάλα πολλὰ καθέστηκεν. ἀλλὰ δακρῦσαι μοι πικρῶς παρεσκεύασεν ἐπὶ τῇ τοιαύτῃ σου ταχίστῃ ἀπωλείᾳ. ἐνεθυμήθην γὰρ καθ' ἑαυτόν, ἐγώ τε αὐτός, καὶ ἡ σὴ καλοκἀγαθία, κοινῶς μεμαθήκαμεν τὰ ἱερὰ καὶ βέλτιστα γράμματα. ἑκάτεροι δὲ διεξήλθομεν τὰς ἁγίας καὶ θεοπνεύστους γραφάς. καὶ τότε μὲν ἐλάνθανέ σε οὐδέν. ἐπὶ δὲ τοῦ παρόντος ἀκόσμητος καθέστηκας ὑπὸ τοιούτου στρατεύματος στρατοπεδευθείς. ἤδη γὰρ τῆς χθὲς γαληνότητος ἐπ' ἀπληστείᾳ χρημάτων μὴ πολιτεύεσθαι. νῦν δὲ κατὰ τὸ ἐνεστὼς δέκα ἑκατοντάδας χρυσίου λιτρῶν ἐζήτησας παρ' ἡμῶν. φείσασθαι τοίνυν ἡμῶν θέλησον, γαληνότατε, τοσαῦτα ἡμῶν κεκμηκότων, ὅσα καὶ σήμερον εἰ θελήσωμεν χορτασθῆναι, οὐκ ἐξαρκέσει ἡμῖν. ἀρκεῖ γὰρ ὡς εἰκὸς παρ' ἡμῶν μαγείρων τέχνη. μάχαιρα δὲ αὐτῶν αἵμασιν οὐ προσομιλεῖ. τὰ μέγιστα τῶν παρ' ἡμῖν βρωμάτων, ἐν οἷς ἡ πανηγυρία, χόρτων φύλλα σὺν ἄρτῳ, καὶ τῷ ἐξεστηκότι οἴνῳ, ὥστε μὴ ἐνθαμβούμενα

ξάνθεροι οἱ παρὰ τὸν Δούναβιν ἐκτραφέντες οἱ ἐμποικιλόμορφοι, οἷς οὐκ ἔστι θέα ὁμοιοειδὴς ἀνθρώπων, ἀλλὰ μορφὴ ἀγριαίνουσα. οὗτοι κατὰ τὸ ἐνεστὼς προσκυλινδοῦνται ἴχνεσι τοῖς ἐμοῖς, ὑπισχνούμενοί μοι ποιεῖν ἐκεῖνα ἅπερ ἁρμόζει τῇ ἐμῇ βασιλείᾳ. οὐχὶ δὲ μόνῳ ἐν τούτῳ ἕλκομαι, ἀλλὰ δεῖ με σὺν πολλῷ τῷ τάχει καταλαβεῖν τὴν Περσῶν, καὶ τροπώσασθαι Σάπωριν ἐκεῖνον τὸν ἀπόγονον Δαρείου γεγονότα, ἄχρι οὗ ὑπόφορος καὶ ὑποτελής μοι γένηται. ἐνταῦθα καὶ τὴν Ἰνδῶν καὶ τὴν Σαρακηνῶν περιοικίδα ἐκπορθῆσαι. ἄχρις οὗτοι πάντες ἐν δευτέρᾳ τάξει τῆς ἐμῆς γένωνται, ὑπόφοροι καὶ ὑποτελεῖς. Ἀλλ᾽ αὐτὸς ἐπέκεινα τούτων δυνάμεως πεφρόνηκας, εὐλάβειαν λέγων ἐνδεδύσθαι, ἀναίδειαν δὲ περιβαλλόμενος, καὶ πανταχοῦ διαφημίζων ὡς ἀνάξιόν με τῆς τῶν Ῥωμαίων βασιλείας γεγονέναι. ἢ οὐκ οἶδας ὡς Κωνσταντίου τοῦ κρατίστου ἔγγονα; καὶ τούτων οὕτως γνωσθέντων ἡμῖν. οὗ ἕνεκα οὐδὲ τῆς προτέρας ἐξέστημεν διαθέσεως, ἥνπερ ἔτι νέοι ὄντες τὴν ἡλικίαν ἐγώ τε καὶ σὺ μετεσχήκαμεν. Ἀλλὰ γαληνῷ τῷ φρονήματι θεσπίζω, δεκάδα ἑκατοντάδος χρυσίου λιτρῶν ἐξαποσταλῆναί μοι παρὰ σοῦ * ἔν τε κατὰ τὴν πάροδον κατὰ τῆς Καισαρείας ἑτοίμου κατὰ τὴν λεωφόρον ὑπάρχοντος σὺν πολλῷ τῷ τάχει ἀφικνουμένου μου κατὰ τῶν Περσῶν ἑτοίμου ὄντος μου. Εἰ μὴ τοῦτο ποιήσῃς, πάντα τόπον ἀνασκευάσαι τῆς Καισαρείας, καὶ τὰ παλαιὰ αὐτῆς ἐγηγερμένα καλλιεργήματα καταστρέψαι, κατὰ τόπον ναοὺς καὶ ἀγάλματα ἀναστήσω, ὥστε με πείσειν πάντας εἴκειν βασιλεῖ Ῥωμαίων, καὶ μὴ ὑπεραίρεσθαι. Τὸ οὖν ἐξονομασθὲν χρυσίον, ἐξαριθμοζυγοκαμπανοστατανίσας καὶ διαμετρήσας ἀσφαλῶς, ἐξαποσταλῆναί μοι (εἰ συνήθης) δι᾽ οἰκείου πιστοῦ σου ὄντος, δακτυλίῳ τῷ σῷ σφραγισάμενος, ὥστε με ἐπιγνωκότι κἂν ὀψέ ποτε τοῦ καιροῦ ἀπαραίτητον γαλήνιόν σοι γενέσθαι περὶ τὰ ἐπταισμένα. ἃ δὲ ἀνέγνων, ἔγνων, καὶ κατέγνων.

Βα-

πρόσωπον, θεὸς δὲ εἰς καρδίαν ὁρῶν, μερίδα τινὰ θείαν ἐν τῇ ψυχῇ σου προεγνωκέν. καὶ ἵνα μὴ συμπνιγῇς τῆς βιωτικῆς ἀκάνθαις, τὸ μὲν γὰρ τοῦτο τοῦ βραχὺ διέφθειρε. τὸ δ' ἀγαθὸν σπέρμα διεφύλαξεν, ἀοράτων ἀοράτοις δυνάμεσιν. Ἐπὶ πᾶσι καὶ πρὸ πάντων, ὄμνυμί σοι θεὸν (ὃν ὁ ἀληθὴς πρεσβεύει λόγος) ὅτι ἀθῶος ἡ τοῦ βασιλέως ψυχὴ, καὶ πάντων τῶν γεγονότων ἀναίτιος. ὅτε δὲ ἔδοξε τὸ μηδεμία προσγενέσθαι σοι κάκωσις, τότε σοι τὸ πειρατήριον ἐγένετο. ἤλγησεν ἀκούσας τὴν ψυχὴν, ἐστέναξεν, ἐκόψατο, προσπαθῶς κατήνεγκε δακρύων κρουνούς. ηὔξατο πολλάκις ἀποθανεῖν. ηὔξατο χανεῖν αὐτῷ καὶ τὴν γῆν. μὴ ἀπιστήσῃς μοι γράφοντι. οὐ γὰρ ψευδὴς ὁ λόγος, οὐδὲ πρὸς χάριν, ἀλλ' ἀληθὴς καὶ φωτὸς τηλαυγέστερος. οὔπω παραμεμύθηται, ἀλλ' αὐτὴν ἀπολέγεται τὴν ψυχήν. ἔχεις καὶ τοῦτο ἱκανὸν παραμύθημα. ἔχεις ὃν ἐφίλεις δεσπότην, ἔχεις τὸν παραμυθησόμενον, τὸν ὑπὲρ σοῦ κλαύσοντα, τὸν ἀναπαύσοντα, τὸν ἀγκαλισόμενον καὶ τιμήσοντα. Ἐγὼ μὲν ἐβουλόμην αἵμασιν οἰκείοις ἢ δάκρυσι τὴν οἰκείαν χαράξαι ἐπιστολήν. ἐπειδ' οὐκ ἦν δυνατὸν, ἔγραψα ὁπωσδήποτ' ἔγραψα. μέγα στενάζων ἢ ὀδυρόμενος, ὅτι πανταχόθεν σε πεφυλάξαι [illegible] καὶ προθυμούμενος, οὐκ ἐδυνήθην ἐπεξελθεῖν τῆς ἐπελθούσης σοι συμφορᾶς.

Ἰουλιανοῦ βασιλέως τοῦ Παραβάτου ἐπιστολὴ πρὸς Βασίλειον τὸν Καισαρείας ἀρχιεπίσκοπον.

Τὸ ἔμφυτόν μοι ἐκ παιδόθεν καὶ γαληνὸν καὶ φιλάνθρωπον μέχρι τοῦ παρόντος ἐπιδεικνύμενος, πάντας ὑπηκόους ἐκομισάμην τοὺς τὸ ὑφήλιον οἰκοῦντας. ἰδοὺ γὰρ πᾶν γένος βαρβάρων μέχρι ὁρίων Ὠκεανοῦ ποταμοῦ, δῶρα μοι κομίζον ἧκε παρὰ ποσὶ τοῖς ἐμοῖς. ὁμοίως δὲ καὶ Σαγάδαρες

σου ἐνθυμηθῶ τὸν ἀναίτιον καὶ τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν, μετὰ τῶν μαρτύρων συγκαταλέγω. εἰ δὲ καὶ μετὰ τὰς μυρίας κακώσεις καὶ τιμωρίας ἔτι μεῖναι μεγαλοψυχῶν καὶ εὐχαριστῶν τῷ θεῷ, ὑπὲρ τὴν τάξιν σε τίθημι τὴν μαρτυρικήν. οὐ γὰρ οἶδα εἴτις ἄνθρωπος ἐπηρεάσθη τοσούτων κακῶν, καὶ ταῦτα ἐπὶ πᾶσιν ἀναίτιος. Τοῦτο δὲ γνῶθι παρ' ἐμοῦ θειότατε ἄνθρωπε, ὅτι πάντα τὰ ἐν τῷ βίῳ γινόμενα, τῆς θείας προνοίας καὶ οἰκονομίας ἐξήρτηται, καὶ οὐδὲν ἀπρονόητον, οὐδὲ ἀσυλλόγιστον. ἀλλὰ πάντα κατοπτεύει ὁ ἀκοίμητος τοῦ θεοῦ ὀφθαλμός, καὶ ἀντὶ τῶν ἐνταῦθα ἐπιπόνων καὶ δυσχερῶν, μεγάλας τὰς ἀνταποδόσεις τοῖς ὑπομείνασι ταμιεύεται. Οἶδα γὰρ ὅτι δριμὺ τὸ στερηθῆναι φωτὸς καὶ οὕτως ἐπίπονον, καὶ ἐπὶ πολλαῖς προηγησαμέναις κολάσεσιν. ἀλλ' αὖθις ἐπίσταμαι, ὅτι μέγα τὸ ἀπολαῦσαι τοῦ θείου φωτός, ὅσον ἤδη προητοιμάσθη σοι, καὶ ὅσον οὔπω χορηγηθήσεται τῇ καρδίᾳ σου. ἀνάψει γὰρ ὁ θεὸς ἐν τῇ ψυχῇ σου ἀκήρατον φῶς, καὶ καταλάμψει σε ἡμέρα σωτήριος. καὶ μισήσεις μὲν τοῦτο τὸ ἡλιακὸν πῦρ. ἀγαπήσεις δὲ τὸ νοητὸν ἐκεῖνο καὶ ἀπόρρητον πῦρ. δὸς αἶνον τῷ θεῷ, ὅτι ἄνθρωπον ὄντα σε, ἄγγελον ἀπειργάσατο. καὶ τὸ ἐπίκηρον ἀφελόμενός σε διάδημα, οὐρανοπλόκῳ στεφάνῳ σε κατεκόσμησεν. ἐνθυμήθητι τὸ μέλλον κριτήριον, ὅτι οἱ μὲν τὰ πολλὰ ἐνταῦθα εὐτυχοῦντες, ἢ τῆς ἐκεῖθεν δόξης παντελῶς ἀπελαθήσονται, ἢ βραχείας τιμῆς ἀξιωθήσονται. σὺ δὲ ἐν δεξιᾷ καθίσεις τοῦ δικαστοῦ, λαμπρῶς ἐστεφανωμένος μαρτυρικῷ διαδήματι, ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμούς, τὰ θεῖα κατοπτεύων θεάματα. καταφιλήσουσι τὰ πονέσαντα ὄμματα μάρτυρες, κατασπάσονται ἄγγελοι, θαῤῥούντως ἐρῶ καὶ θεὸς αὐτός. Τὴν τοσαύτην οὖν παραμυθίαν ἐνθυμούμενος, ἐπανάγαγε σαυτὸν ἐπὶ τὸ εὐθυμότερον. καὶ εὐφραίνου ἐν τοῖς παθήμασί σου κατὰ τὸν θεῖον Ἀπόστολον: ἄνθρωπος μὲν γὰρ εἷς

προ-

φόν. ἐλλογῶ δὲ ὑμῖν ὥσπερ πλατείας, οὐκ αὐτόθι, ἀλλ' ἀπὸ τοῦ πατρὸς, ἀπὸ τῶν ἱερωτάτων τοῦ γένους, ἀπὸ τῆς θαυμασίας μητρὸς, ἣν ἐγὼ ἀπεικόνισμα φαίην ἂν ἀρετῆς, ἀπὸ τῶν ἐγγυτέρω, ἀπὸ τῶν πορρωτέρω, καὶ πῶς συμβέβλημαι ὑμῖν, καὶ ἀναπέφυκα ταῖς ψυχαῖς, καὶ συμπέφυκα. ἐκ δὲ ἀγριελαίου ἐγκεντρισθεὶς εἰς τὴν καλλιέλαιον. ἀλλ' ἐκ τῆς αὐτῆς ἦν ἀεὶ φυτείας τι καὶ ποιότητος. Εἰ δὲ καὶ γένος ἐστὶ ψυχῶν (ὑποτιθέσθω δὲ ὁ λόγος, οὐ δογματιζόμενος, ἀλλ' ἁπλῶς εἰσαγόμενος) εἴ τις ἐστὶ ψυχῶν καὶ συγγένεια, καὶ τίνες χαρακτῆρες ἰδιάζοντες ἐνίαις αὐτῶν ἐπιβέβληνται, ἐγνώκεισαν ἀλλήλας αἱ ἡμεδαπαί. ὁρᾷς γὰρ ὅτι μοι καὶ τῶν ἠθῶν κεκοινωνήκατε, καὶ ἔτι τοῦ ἁπλοῦ ἡμῶν πᾶσι ἀλώσιμον, καὶ τοῦ γενναίου ποικιλίας οὐ μέτεστιν. Ὁρᾷς οὖν Ἀνεψιὲ φίλτατε, ὅπως ὁ ἀρραβὼν ἡμᾶς μᾶλλον συνέδησεν ἢ ἐκείνους, ἐφ' οἷς ἑορτάσαι; τοιοῦτον ἐστὶν ἐρῶσα καὶ ἐρωμένη ψυχή, πάντα λόγον καὶ πᾶσαν ὑπόθεσιν τοῦ οἰκείου ποιεῖται ἔρωτος. οἵας οὖν ἔμελλον ἀπολειφθέντος πανηγύρεως, νὴ τὴν ἱεράν σου ψυχὴν, ἱλαρὰν ἔχω καὶ τοῖς ἡδύσμασιν ἀλώσιμον τὴν ψυχήν. κἂν που ἐντύχω ταῖς χάρισι γίνομαι τούτων εὐθὺς, καί μοι ἀνεῖται ἡ γνώμη, καὶ ὥσπερ ζεφύρου πνοαῖς ἐγγέγημαι. ὁπότε δὲ καὶ παρὰ σοὶ καταλύω, μάλιστα διαχέομαι. διαπίξ ὅτι παρὰ σοῦ δὶς τὰ ἐν τοῖς ἐμοῖς τὸ συσσίτιον.

Τοῦ αὐτοῦ πρὸς τὸν βασιλέα τὸν Διογένην μετὰ τὸ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκκοπῆναι, ἐπιστολὴ παραμυθητική.

Ἀπορῶ παντάπασιν ἐπὶ σοὶ θαυμασιώτατε καὶ γενναιότατε ἄνθρωπε, πότερον ὡς δυστυχέστατον, ἢ ὡς εὐκλεέστατον ἀποκαλέσομαι; ὅταν μὲν γὰρ ἀποβλέψω εἰς τὰ ἐπενεχθέντα σοι λυπηρὰ ἀριθμὸν καὶ δύναμιν ὑπερβαίνοντα, μετὰ τῶν ἀτυχεστάτων ἀριθμῶ· ὁπόταν δὲ τὴν γνώμην

γοῦσα, καὶ ἐναντίως ἀλλήλοις εἶχε πάλαι τὰ παίγνια. τὰ δὲ τὰ παναθήναια, (οὕτω γὰρ δέον εἰπεῖν διὰ τὸ παντοδαπὸν τῶν συνεληλυθότων ἕξιν τε καὶ κατάστασιν) μίγματι τοῦ ποικίλου καλοῦ ἐτύγχανεν ὄντα. εἰ μὲν γὰρ ὡς φιλόσοφον τὸν σύλλογον ἐξετάζωμεν, μεστὸν εὑρήσομεν χάριτος. εἰ δὲ ταῖς χάρισι παραβάλοιμεν, ἔχοντά τι καὶ κατὰ τὴν θαυμασίαν σεμνότητος. ὥσπερ γὰρ ἡ μέν τις ἐστὶ πάνδημος Ἀφροδίτη, ἣν τὸ δημοτικὸν γένος πρεσβεύει. ἡ δέ τις ἄνωθεν καὶ κομψή, καὶ κατὰ τοῦτο ἀλληγορεῖται τοῖς Ἕλλησιν. οὕτω δὴ καὶ χάριτες. αἱ μὲν, γυμναὶ τῶν πηγῶν ἀναδύουσιν. αἱ δὲ, ἱερὰν στολὴν ἐμφιέννυνται. κατὰ τὸν αὐτὸν δὴ τρόπον, καὶ αἱ ἐπιθαλάμιοι καὶ γαμήλιοι ἑορταὶ, καὶ ὁπόσα τῷ ἐν νόμῳ τελεῖται ἔρωτι. τὰ μὲν, ἐπαφρόδιτα μόνα, ὧν δρίδες καὶ θύρσοι προσαπαντῶσι. τὰ δὲ μετὰ τῆς φιλοσόφου σεμνότητος πρόεισι. τοῖς μὲν γὰρ κρείττοσιν, οὐ δεῖ τῶν χειρόνων, ὅθεν ὑμνεῖται τις σοφία ἱερά τε καὶ ἀκοινώνητος. τὰ δὲ χείρω, ἢν μὴ τὰ κρείττω περιαμπίσχηται, εὐθὺς ἀσχήμονα δείκνυται. διὰ ταῦτα καὶ ὕλη τὸ εἶδος ἐνδέδυται, καὶ ὅροι ταύτης μὲν τὰ ἔνυλα εἴδη, τῶν δὲ ἐμψυχωμένων σωμάτων αὐταὶ αἱ ψυχαί. τοιοῦτον δὴ καὶ τὸ σὸν κρᾶμα τῆς πανηγύρεως. ἀφροδίσιος αὔρα μετὰ μουσικῆς ἐπιπνοίας, καὶ λόγος φιλόσοφος μετὰ χαρίτων ἡδύτητος. καὶ ὑμέναιος ἄχορδος μὲν ὥσπερ ἔδει, καὶ ἄναυλος, οὐ μὴν πικρὸς καὶ ἀσύμφωνος. ἀλλὰ περιποδίσατα μὲν τὰ μέλη, οὐκ ἀκόλαστοι δὲ οἱ ῥυθμοὶ, οὐδὲ διθύραμβοι καὶ ἀνάπαιστοι, ἀλλὰ τὰ πλείω σπονδειακοὶ καὶ ἐπίτριτοι. Εἰ δὲ καὶ αὐτὸς πάρεργον τῆς ἀναβολῆς ἐγενόμην, καὶ σοὶ μαγάδιον ὑποπηχθὲν τοῖς φθόγγοις, σὸν καὶ τοῦτο ἐστὶ, δι' ὃν ἐγὼ πάντα γίνομαι, ἵνα σε πανταχόθεν ἐμαυτῷ οἰκειώσωμαι. οὐ γὰρ ἐστὶ περὶ ὅν τινα ἄλλον ἐπραγματευσάμην ἐγὼ, οὐδ' οὕτως ἑαλώκειν τινὶ, ἢ ἕτερόν τινα τῶν πάντων τεθήραμαι, εἰ μὴ λέγῃς τὸν ἀδελφόν.

τοῦ Δαβίδ, ὃς δὴ καὶ κιθάραις καὶ ναύλαις τοὺς ἱεροὺς ἐμελούργει ψαλμούς. εἰ δὲ μὴ οὕτω ποιήσειας παρὰ τὴν σίδης ἢ παρ' ἐμὲ, ἢ παρ' ἄλλον ὁντιναοῦν ὥσπερ ἑπτακύκλου ἀσπίδος τὸν χρυσοῦν ὑφαιρεῖς ὀμφαλόν.

Ὁ αὐτὸς τῷ αὐτῷ μετὰ τὸ ἀπαντῆσαι εἰς τὸν ἀρραβῶνα τοῦ αὐτοῦ.

Ἐγὼ δὲ ὤμην ἱερὰ καὶ περιπόθητε κεφαλὴ, οὐκ οἶδα εἴθ' ὡς ἀγροῖκος, εἴθ' ὡς ἐκλαθόμενος τῶν τοῦ γάμου προσοδίων αὐτίκα τὴν τελετὴν εἰσιὼν, πᾶσι μὲν αὐλοῖς πάσαις δὲ κιθάραις περιηχήσεσθαι. περιιὼν δὲ, μήλοις μὲν βληθήσεσθαι παρὰ τῶν τὰς πλαγίας θύρας ἐφεστηκυιῶν γυναικῶν, ῥόδοις δὲ καταραντήσεσθαι ἄνωθεν. καὶ μηδ' ἀρκέσειν τὰ ὦτα πρὸς τὸν ὑμέναιον. διὰ ταῦτα αἰσχυνομένῳ ἐῴκειν καὶ ἀναβαλλομένῳ τὴν ἱερὰν δᾳδουχίαν, ἵνα μὴ ἀπαίσιος γενοίμην πρὸς τὴν πανήγυριν, καί με τις ἰδὼν οἰωνίσαιτο ἐν χάρισι μέσαις, καὶ τηλικαύτης λαμπρότητος, μελάνδετον ἀκριβῶς καὶ αὐτῷ τῷ σχήματι σκυθρωπάζοντα. οὐ γὰρ ᾔδειν τὴν ἐλευσινίαις μέλλων προσιέναι, καὶ μυστηρίοις ἀτεχνῶς ἀπαντήσεσθαι, καὶ ἄναυλον, καὶ ἄχορδον ἑορτάσαι πανήγυριν, καὶ θύσειν (ὅ φασιν) ἄκαπνα, οὕτως ἐκ διαμέτρου τῶν ἐλπίδων τετύχηκα. καί σε μετὰ τῶν ἄλλων τεθαύμακα, ὅτι τὰ χαρίτων μυούμενος, ἢ μᾶλλον μυσταγωγῶν τὰς σεμνὰς συμπαρέλαβες Μούσας, καὶ κρατῆρα κιρνῶν ἡδονῆς, οὐκ ἄμικτον τὸ κρᾶμα ποιεῖς. ἀλλὰ καὶ φιλόσοφον συμπαραλαμβάνεις τῷ πράγματι. οὔτε τὸν Διόνυσον ἄμουσον, οὔτε τὰς Μούσας ἀπροσδιονύσους ποιούμενος. οὔτε ἀναφροδίτους τὰς χάριτας. Ἐμοὶ γοῦν φιλόσοφος ἀληθῶς ἡ τελετὴ ἔδοξε. καὶ εἰ μὴ ἀπλωστήχθην, μεμεγιάκειν ἄν. τὰ μὲν γὰρ ἐλευσίνια καὶ ἡ μιθριακὴ τελετή. τὰ μὲν, ἀστεῖα καὶ πομπὴ ἀτεχνῶς καὶ ἐν γέλωτι τὰ μυστήρια. ἡ δὲ, διεστοιβασμένη καὶ κολάζουσα μᾶλλον ἢ μυσταγωγοῦσα

γοῦσα

λόγος ὥρμηται. Τῶν γινομένων τὰ μὲν ἀνεῖται μοι, τὰ δὲ ἀποτετείχισται. ἀνεῖται μοι, θεῖοι ναοὶ καὶ ὅσα τοιαῦτα. ἀποτετείχισται ἱπποδρομίαι καὶ τἄλλα θέατρα, καὶ ὅσα τούτοις ἀκόλουθα. Ἆρ' οὖν εἰ ναοῖς ἐντύχοιμι ἐν οἷς οὐ λουτῆρες, οὐδὲ σπονδεῖα, οὐδὲ τὸ ἅγιον κοσμικόν, παρὰ ταῦτα οὐδὲ εἰσιτέα μοι ἐς αὐτούς; πολλοῦ γε καὶ δεῖ· τούτων γὰρ σπάνις παρά γε τοῖς πλείοσι. χρὴ γοῦν τὸ ἴσον ἀντίθετον οὐδ' εἰς θάτερον διαβαδιοῦμαι. οὐδ' ἔνθα με νόμος ἀπείργει, εἰ μὴ πάντα ἐκ πάντων τῶν νενομισμένων συντέθηται, τῶν δημοσίων τούτων καπηλειῶν πρὸ τῶν εἰσόδων ἀτελές τι λίνον καταπετάννυται. ἆρ' οὖν εἴ τις ἀφέλοι τὸ καταπέτασμα, συνανήρηκε τούτῳ καὶ τοῦ πανδοχείου τὸ ὄνομα; Ἀνεψιὲ φίλτατε ἄλλο γένεσις, καὶ ἄλλο ἀλλοίωσις. ἐκεῖ μὲν γὰρ, συμμεταβέβληται τὸ ὑποκείμενον, καὶ ἄλλο τῇ ὕλῃ γίνεται, ἢ πρότερον ἦν. ἐνταῦθα δὲ περί τι εἰδοπεποιημένον ἡ μεταβολή. Ἀλλοῖός μοι ξεῖν' ἐφάνης νέον ἢ τὸ πάροιθεν φησὶν Ὅμηρος. οὐ τοίνυν οὐδὲ σὺ τὸ ὑποκείμενον ἀναιρεῖς, ἀλλὰ τὰ περὶ αὐτὸ μεταβάλλεις. ὁ κολοιὸς καὶ πρὸ τῶν ἀλλοτρίων πτερῶν ἦν τε καὶ ὠνόμαστο, οὐδὲν δὲ ἧττον καὶ μετὰ ταῦτα νόθος ἐστὶ κολοιός. καὶ ὁ μετασχηματισμὸς πλάνην μὲν τοῖς ὁρῶσι μεταβολῆς τοῦ ὑποκειμένου ποιεῖ, οὐ μὴν κατ' οὐσίαν ὃ μετασχηματίζει ἀναιρεῖν δύναται. οἶδ' οὖν ὃ ποιήσεις, ἵνα καὶ τὸν νόμον ἐμοὶ σώσαις, καὶ σαυτῷ τὸ ἐνθύμημα. Ἐπειδὰν ἀφίξωμαί σοι συμμετέχων τῆς πανηγύρεως, μή με ἐάσῃς ἀπεῖναι τῆς τελετῆς, ἀλλὰ συλλαβὼν καὶ δεσμήσας ἀκριβῶς φύλαττε. εἶτα δὴ ἐγὼ μὲν προσποιήσομαι θυμὸν ἴδιον, καὶ ἀκκιοῦμαί σοι καὶ ἀπερυθριάσω. σὺ δὲ ἔτι μοι μᾶλλον ἐπίσφιγγε τὸν δεσμόν, μόνον οὐκ ἐν ἱστοπέδῃ δήσας, ὥσπερ τὸν Κεφαλλῆνα οἱ συμπλέοντες ἑταῖροι. εἶθ' οὕτως ἀνεγκλήτως ἀκούσομαι τῶν σειρηνείων ᾠδῶν. καὶ ναὶ πρὸς φιλίου εἰ οὕτω μέλλεις ποιεῖν, ἔσονται ἡμῖν καὶ σειρῆνες. οὐκ εἰμὶ σμικρότερος

τοῦ

αὐτοῖς καὶ τὰς λέξεις ἅμα καὶ τὰς ἐννοίας. Καὶ γάμοις γοῦν ἐγὼ πολλοῖς παραγέγονα ὁπηνίκα ἔζων· ἐν οἷς οὔθ' ὁ κιθαρῳδικὸς ἐτελεῖτο νόμος, οὔθ' ὑμνεῖτο ὑμέναιος. ἀλλ' ὅμως ἔκειτο τῷ πράγματι τοὔνομα, καὶ γάμος ἦν τὸ γινόμενον. καὶ οὐδὲν ἧττον ἡ συζυγία ἐπεσφηματεύετο. ὥσπερ γὰρ οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἄνθρωπος (καὶ τοῦτο καλῶς τῇ ἐπιστήμῃ ἠκρίβωται) οὕτως οὐδὲ γάμος, οὐδ' ἀρραβών· οὐδὲ γὰρ ὁ ἠκρωτηριασμένος τὴν ἀπὸ τὸ αὐτὸ εἶδος ἐλάττων παρὰ τοῦτο τοῦ τελείου, κατά γε τὸν τῆς φύσεως λόγον, ἢ παρ' ἐκεῖνον ἕτερος. ἄνθρωποι δὲ ξύμπαντες, καὶ τοῦ αὐτοῦ λόγου κεκοινωνήκασιν. εἰ μὲν γὰρ ἔχεις δεικνύειν, ὅτι παρὰ τοῖς ἀχόρδοις ἀρραβῶσιν ἄλλο τι δεῖ τὸ τελούμενον, ἐφ' ᾧ νόμος ἀπείργων ἡμᾶς οὐ τέθειται, αὐτὸ δὴ τοῦτο νενίκηκας, κἀμοὶ ἀπαιτητέον αὐτίκα πρὸς τὴν τελετήν. ἕως δὲ μὴ τοῦτο δεικνύειν δεδύνησαι, ἐμοὶ ἀπείργεις τὴν πρόσοδον. οὐ γὰρ πᾶν τοῦ γινομένου ἀφῄρηκας. ἀλλὰ τὸ μὲν παραβαίνειν εἴασας, τὸ δὲ ἀπεκώλυσας. Εἰ δὲ καὶ θέατρον ἀπετέλεις τῇ πανηγύρει (ὥσπερ καὶ νῦν ἱπποδρομίαν ποιούμενος) εἶτα τὴν μὲν γυμνοπαιδίαν ἀφῄρηκας, αὐτῇ δὲ τῇ ἱπποδρομίᾳ συνίστασο, ἆρ' ἄν με δικαίως ἐκάλεις ἐπὶ τὸ θέατρον, ὅτι δὴ ἐξ ἡμισείας ἠκρωτηρίασται; σοὶ γὰρ ἐγὼ δικαίως ἂν ἐπισκήψαιμι, ὅτι τῆς τελετῆς τὸν νενομισμένον ὑφαιρεῖν κόσμον, ὥσπερ εἴ τις ὑφαιροῖ τὰ ἄνθη τοῦ ἔαρος. τί γάρ ἐστι τὸ τελούμενον παρὰ τὸν κόσμον τῆς τελετῆς; ὥσπερ γὰρ εἴ τις ὑφέλῃ τῶν μυστηρίων αὐτὰς δὴ τὰς μυστηριώδεις ἐχεμυθίας, καὶ ξύμπασαν τὴν ἱεροφαντικὴν πραγματείαν, τὸ πᾶν συνέχεεν καὶ ἀνέτρεψεν, οὕτω δὴ καὶ γάμων καὶ τῶν ἐπὶ τούτοις ἀρραβώνων, εἴ τις τοὺς συνήθεις περιέλοι κόσμους, καὶ μάλιστα τὰ ἐπάσματα καὶ τὰ ᾄσματα, λυμαίνεται τῷ σύμπαντι. οὔτε γοῦν ἐμοὶ νόμος γάμοις προσιέναι, καὶ τοῖς τούτων προοιμίοις. οὔτε σοὺς ἐπεξουσίας δεῖν ὑφαιρεῖν τὰ ἐπὶ τούτοις νομοθετούμενα. Ἀλλ' εἰς ὅ μοι ὁ

μόνον ἐρώης αὐτοῦ, καὶ τέκοις παιδία πολλά τε καὶ καλά, ὁπόσα ἡ Μήτηρ καὶ οἷα ἄρρενά τε καὶ θήλεα. Καὶ ταῦτα μὲν δή σοι παρ' ἐμοῦ τοῦ γάμου προοίμια. εἰ δὲ βιώσιμος εἴην, καὶ πρὸς τῇ τελευταίᾳ σου τελετῇ, καὶ δᾶδας γαμηλίους ἀνάψω, καὶ ἀποθήσομαι ὅπως σοι τῷ νυμφίῳ προσενεκτέον. οὐ γὰρ δὴ καὶ τὴν ἀποθηκῶν κεκώλυται ὁ φιλόσοφος. μόνον οὐδὲ τότε τῶν γαμηλίων σοι ποθοῦμαι κρατήρων, ἵνα μὴ σβέσας τὰς ἐπὶ σοὶ δᾶδας μετὰ τὴν τελετὴν, τὰς τῶν βασκάνων γλώσσας ἀνάψω.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν, μηνυθέντι αὐτῷ παρὰ τοῦ πρώτου ἀδελφιδοῦ ὡς οὐδὲν τὴν ἀσίμαν ἔσται ἐν τῇ τραπέζῃ.

Εἰ δέ μοι νόμος ἔκειτο λέοντι μὴ μονομαχῆσαι, ἔπειτα σὺ τὸ θῆρα θηράσας, καὶ τὴν ὀνύχων αὐτὸν ἀφειλόμενος συμπλακῆναι παρῄνεις, ὡς ἤδη μοι τοῦ νόμου λυθέντος διὰ τὴν τῶν ὀνύχων ἀφαίρεσιν, ἆρ' οὖν ἀλόγως ἐδόκεις λέγειν, ἢ τοῦ παντὸς ἂν διημαρτήκεις, καὶ τοῦ πειθοῦς ἀποτύγχανες; οὕτω τοιγαροῦν καὶ τῶν τοῦ γάμου προεισοδίων τὰ ἐπὶ τούτοις ἀφῃρηκὼς ᾄσματα, καὶ ξύμπασαν τὴν τῆς ἱερᾶς τελετῆς πραγματείαν, καὶ ἀποσεμνύνας τὸ πρᾶγμα ὁπόσα εἰκὸς, οὐ πιθανὸς εἴης συγκαλῶν ἐπὶ τοῦτο καὶ προτρεπόμενος. ὥσπερ γὰρ ἐκεῖ μένει τὸ σῶμα τῷ θηρὶ καίπερ κεκομμένῳ τοὺς ὄνυχας, ᾧ μὴ προσπαλαίειν νενομοθέτημαι, οὕτω δὴ κἀνταῦθα. οὐ μεταπεποίηται ὁ ἀρραβὼν κἂν ἀφῄρηται τὰ μέλη καὶ τοὺς ῥυθμούς. Σὺ δ' ἄρα καὶ γυναῖκα μετακοσμήσας, καὶ τὰς πλοκαμίδας αὐτῆς βοστρυχίδας ποιήσας, καὶ τὸν τῆς κεφαλῆς κόσμον μεταβαλλὼν, ἔπειτά μοι συγκαθεύδειν αὐτῇ καταναγκάσον, ἢ τὴν προσήκουσαν αὐτῇ στολὴν ὑφελὼν, ἐπιχείρησον πείθειν ὅτι μὴ γυνὴ τὸ ὁρώμενον. ἀλλ' οὐ προσηγορίαις ὑμῖν τοὺς νόμους, ἀλλὰ τηρητέον

αὐτοῖς

ἀμφοῖν πρέπομαι. οὔτε γοῦν σοι τῆς πανηγύρεως ἀποστήσομαι, οὔτε τῆς ἑορτῆς ὅλως γενήσομαι. ἀλλ' ἀπαντήσομαι λαμπρῶς κατὰ τὰ συγκείμενα. καὶ τὰ μὲν ἀνακροάσομαι περὶ τῶν γινομένων. τὰ δὲ αὐτὸς διαλέξομαι καὶ συνθήσομαί σοι τοῖς γαμικοῖς προοιμίοις, καὶ ἐμφύτοις σκιρτήμασι συναγαλλιάσομαι. καὶ εἰ βούλει, κάλλιστόν σοι ᾄσομαι τοῦ προοιμίου προοίμιον. μελῶν δὲ ἢ ῥυθμῶν οὐκ ᾄσομαι, ἵνα μὴ τοῖς λογοσλέσχαις διατριβὴ γένωμαι. καί τοι πῶς οἴει με τῶν σεμνῶν χαρίτων ἐρᾶν; καὶ μάλιστα τῶν ἐν ῥυθμοῖς τε καὶ μέλεσιν; εἰμὶ γὰρ οὐκ ἀπεσκληκότως ἔχων τῆς φύσεως. οὔτε πάλιν ἐν ταῖς ᾠδαῖς ὑποχαλῶ τι τοῦ βλοσυροῦ. ἀλλὰ βραχύ τι τὴν πρώτην τοῖς τῶν ὀργάνων κρούσμασι συμπαθεὶς, ἔπειτα ἐμαυτὸν εἰς τοὺς ἁρμονικοὺς ἀναφέρω λόγους, καὶ τάς τε συμφώνους ἀναθεωρῶ τῶν χορδῶν. καὶ εἴ τι παράφωνόν ἐστι, ἐν αὐταῖς ἢ διάφωνον, καὶ ἀπὸ τῶν καθαπτῶν ὀργάνων, πορίζομαί τι εἰς τὰ μέρη τῆς μουσικῆς. τοὺς τόνους φημὶ καὶ τὰ διαστήματα καὶ συστέμματα. Ἀλλ' οὐκ ἐπιλέλησμαι. ἆρ' οὐκ ἔστι φίλτατε Ἀνεψιὲ τὸ νέον τοῦτο νυμφήδιον, ἐκεῖνο δὲ ὃ ἐν τοῖς ἀνακτόροις τεθέαμαι τὸ λαμπρὸν καὶ ἀστράπτον, ὃ δή με καὶ ᾠκειοῦτο αὐτίκα; εἶτα δὲ ἑτέρων καλλιόνων ἀντῆρα; κάλλιστον νὴ τὴν ἱεράν σου ψυχὴν, καὶ τὴν ὄψιν, καὶ τὴν ψυχήν. ἄμφω μὲν τῆς μητρὸς ἧττον. τί γὰρ αὐτῇ ἴσον γένοιτ' ἄν; τῶν δ' ἄλλων ὧν ἐγὼ τεθέαμαι, παρὰ πολὺ κάλλιον. γένοιτο αὐτῇ καὶ ὁ ἀῤῥαβὼν καὶ ὁ γάμος αἴσια πάντα καὶ προσφιλῆ, καὶ μηδὲν αὐτῇ τῶν πάντων ἀνάρμοστον ᾖ. μήθ' ἡ παστὰς, μήθ' ὁ θάλαμος, μήθ' ὁ ἐπινυμφίδιος κόσμος. ἀλλ' ἁρμόσοι τἀνδρὶ, κἀκεῖνος αὐτῇ. καὶ γένοιτ' ἀμφοῖν ἡ συμβίωσις, οὐ συνοικίωσις σωμάτων μόνον, ἀλλὰ καὶ ψυχῶν. κάλλιστος γάρ μοι καὶ ὁ Νυμφίος δοκεῖ. καὶ αὐτὸ δὴ τοῦτο νυμφίος ὡς ἀληθῶς, καὶ τῇ Νύμφῃ προσόμοιος. ἐκείνῃ δὲ τοσοῦτον εἰπὲ, ὅτι οὐ ζηλότυπος ἐγὼ ἐραστὴς, οὐδέ σου μέμφομαι τῆς μεταθέσεως,

τοῦτον καὶ τὰ ἐκ τῶν χαρίτων μεμνῆσθαι. καὶ τὰ μὲν, ὑπόσημον εἶναι. τὰ δὲ, ἀνεῖσθαι ταῖς χάρισιν. ἐχρῆν μὲν οὖν καὶ πρὸς τὰς ἑτέρων ζῆν ὑπολήψεις, μηδὲ ζυγοστατεῖσθαι με ἀλλοτρίαις χερσίν. ἀλλ' αὐτὸν ἑαυτῷ στάθμην καὶ κανόνα καθίστασθαι. Ἀλλ' ἵνα μὴ κἂν τούτοις τῆς βασκανίας τούτοις ὑποθήσων, ὡς παντάπασι τῶν παρ' ἐκείνου δοξῶν ὑπερκείμενος, οὔτε δημοσίου τὰ πολλὰ μετέχω κρατῆρος, οὐ μὰ τὴν ἱεράν σου ψυχήν. οὔτε ἀπὸ τῆς αὐτῆς στεῦμαι τοῖς πλείοσι. πανηγύρεσί τε οὐ παραβάλλω, οὔτε ἰδίαις, οὔτε κοιναῖς, εἰ μή που τῆς σπαῖς. Γάμος δὲ ἱερὸς καὶ τὰ τούτου προοίμια καὶ προαύλια, καὶ τὰ πρὸ τῆς παστάδος οὕτως εἰπεῖν προθαλάμια, ἄδυτον ἔμοιγε τυγχάνει προτεμενίσματα, καὶ ἀναβολαὶ, μελλῶν μουσικῶν, καὶ ἥδυσον θηραυλεῖν ἐπὶ τούτοις, καὶ ἀπαντῆσαι αὐτίκα, καὶ σπουδάζειν τοῖς τελουμένοις, καὶ μετέχειν τῆς τελετῆς. ἀλλὰ παντὶ μὲν ἄλλῳ ἐξὸν ἐντὸς εἶναι θυρῶν. ἐμὲ δὲ δεῖν φασὶ πόῤῥω τούτων καθίστασθαι ὅτι πειρῶμαι φιλοσοφεῖν, καὶ τὴν ψυχὴν ἀναλύειν τοῦ σώματος. καίτοιγε καὶ τὸ ὁρώμενον κάλλος ἀντιπαράγειν τὸν φιλόσοφον εἰς τὸ νοητὸν κάλλος δεδύνηται. καὶ ἡ ἐμφανὴς ἁρμονία, τῆς ἀφανοῦς ἀνάμνησις γίνεται. καὶ οὐ τὰ μαθήματα μόνον συνεθίζει τὸν ὁμιλοῦντα τούτοις εἰς κατανόησιν τῆς ἀσωμάτου φύσεως. Ἀλλὰ τί ταῦτα; τῷ λέγοντι μὲν ὀλίγον, πολὺ δὲ τοῖς ἀκούουσι καὶ μηδὲν ἕτερον εἰδόσιν, ἢ οὐκ ἂν τοῦν χαιρεῖν ἅπτονται. ἐγὼ δὲ ὥσπερ καὶ πολλῶν ἑτέρων ἀπέχεσθαι ὑποσχόμενος θεῷ, ἑτέρους τούτων ὁρᾶν μετέχοντας οὐκ ἐκώλυμαι, οὕτω δὲ καὶ γάμον ἀπειρηκὼς, οὐκ ἀπεῖργμαι παρ' ἑτέροις ὁρᾶν τοῦτον σπουδαζόμενον. Ἀλλ' οἵγε βασκαίνοντες, νομοθετοῦντος ταῦτα φασὶν εἶναι, ἀλλ' οὐχ ἑπομένου τοῖς νομοθετηθεῖσιν. ἐπεὶ γοῦν τῶν ἀμφιλόγων ἐγὼ, καὶ περὶ ὧν ἐστὶν ἀμφισβήτησις, τὰ μὲν ἐμαυτοῦ, τὰ δὲ τῶν λεγόντων γίνομαι. καὶ οὐ τὴν ἑτέραν αὐτῶν, ἀλλὰ τὴν μέσην

ἀμ-

σοὶ τῆς πόλεως ἴνδαλμα, τὸν μαθητὴν, τὸν βεστάρχην, τὸν βέστην, τὸν ἄρτι τῶν σπαργάνων λυθέντα Πατρίκιον, τὸν πρῶτον περὶ σε κύκλον· τὸν δεύτερον, καὶ εἴ τις τρίτος καὶ τὸν περὶ τὸν ὕπατα, καὶ τὸν ὑπατόν· ἀλλὰ πότε ταῦτα ὑμῖν ἀποκαθιστάμενος φθέγξομαι; νῦν γὰρ ἀπάγομαι, νῦν ἀπελαύνομαι ἔτι καὶ πόρρω Καισαρείας, ἀφ᾽ ἧς ἀνακάμψας καὶ πρὸς ὑμᾶς βαδιοῦμαι, καὶ τὼ χεῖρε πότε ὡς σταδιοδρόμος ἀρῶ.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν εἰς ἀρραβῶνα κληθέντος.

Αὐθέντα μου καὶ ἀδελφὲ, ἐπίφθονόν τι χρῆμα (ὡς καὶ αὐτὸς οἶσθα) φιλοσοφία τε καὶ φιλόσοφος. λέγω δὲ ταῦτα τρόπον ἕτερον, οὐχ ὡς ζηλούμενα, ἀλλ᾽ ὡς βασκαινόμενα. καὶ τοξεύουσιν ἐπ᾽ αὐτὸν οὐχ οἱ βάσκανοι μόνον, ἀλλ᾽ ἔστιν οὓ καὶ οἱ σεμνοὶ καὶ ἐπιεικεῖς. οἱ μὲν ὡς βασκαίνουσι τῶν καλῶν· οἱ δὲ, ὡς τὸ δοκεῖν ἀντέχεσθαι τοῦ καλλίονος. Ἐγὼ δὲ φιλόσοφος μὲν ἴσως οὐκ εἰμὶ, οὐδέ μοι τῆς ἱερᾶς ἐπιστήμης μέτεστιν οὐδοπουοῦν· φιλοσόφου δὲ δόξαν παρὰ τοῖς πολλοῖς ἔσχηκα. καί με ἀξιοῦσιν οἱ πλείους μηδὲ τῆς γῆς ἅπτεσθαι τοῖν ποδοῖν. ἀπειργάζονται δέ μοι καὶ περιόδους, καὶ λογικὰς συνουσίας, καὶ εἰ δεξιὰν τὴν χεῖρα, ἀλλὰ μὴ ἀριστερὰν μετήνεγκα, καὶ εἰ τὰς ἀρχὰς τῶν ὑποκειμένων ζητῶ. καὶ βούλονται γάρ με ἀπεῖρχθαι τῶν ὑποθέσεων, καὶ παραβλέπειν αὐτὰς, ἀλλὰ μὴ καὶ ἄρθρα διαιρεῖν. καὶ νομοθετοῦσιν, ὅπῃ βαδιστέον ἐμοὶ, καὶ ὅθεν, καὶ πηνίκα, καὶ ὅσον, σαββάτου μιᾶς ὥσπερ παραμετροῦντες ὁδόν. καὶ οὐκ ἴσασιν ὅτι τοῦ φιλοσόφου, τὰ μὲν ἀπεῖναι δέον, ὁπόσα λυμαίνεται τῷ σκοπῷ· τὰ δ᾽ ἐξ ἀνάγκης τούτῳ συμπέφυκε· τὰ δὲ αἱ φιλίαι καὶ διαθέσεις αὐτῷ προσειθίκασι. καὶ ὡς χρὴ

μένων καὶ ἐφελκομένων τῷ ῥεύματι. ταῦτα δὴ καὶ τὰ τούτων δεινότερα. νῦν δέ μοι ξύμπαντα ταῦτα μετειάτε καὶ ἀπεγνώς ἱλαρά. καὶ ἐλάνθανον τέως ἐν παραδείσῳ τρυχόμενος. Τὰ δέ γε νῦν παρεστῶτα, πῶς ἂν διηγησαίμι τριπόθητε ἀδελφέ; ἐοίκαμεν γὰρ ἀτεχνῶς καλακρίτοις καὶ ἀπαγομένοις εἰς θάνατον. περιεκάθηντο γὰρ ἡμᾶς κύκλωθεν οἱ πολέμιοι πρὸς οὓς ἀφικνούμεθα, καὶ τῶν ἄλλων ἀποδειλιασάντων πρὸς τὴν ἐπαγωγὴν τοῦ κακοῦ, μόνος θαρρεῖ οὗτος ὁ βασιλεύς, καὶ οὐδὲν αὐτῷ πρᾶγμα εἰ καὶ μόνος ἐκείνων τοῖς χιλιάσιν ἀντιταίη, καὶ μυριάσι. τὸ γὰρ γενναῖόν τι πρᾶγμα καὶ τοῖς πράγμασι λυσιτελὲς ἐργάσασθαι, μυρίων θανάτων ἀνταλλάττεται. κἀμοὶ βραχύ τι καθίσταται ἡ ψυχή, ἐπειδὰν ἀπὸ τῷ πυργίῳ τούτῳ καὶ βαδίζω καὶ ἵσταμαι. ἀλλ' αὖθις ταράττομαι πρὸς ἑτέραν δὴ σχολήν. καὶ νὴ τὴν ἱεράν σου ψυχήν, εἰ μὴ ὁ καλὸς Ἰασίτης ὁ πάντα ἐμοὶ ἐράσμιος καὶ θαυμάσιος καθίστα ἡμᾶς τὰ κινδυνεύοντα πράγματα, καὶ τὴν φρενὰ τῶν δεινῶν ἐπεῖχε καὶ τὸ ἐπανάδον ἡμῖν ἐπιμάζετο πόρρωθεν, ὁποῖος δὴ σὺ τοῖς ἀπορρήτοις πόροις περισμηχανώμενος, καὶ ἱλαρᾷ γλώττῃ βραχύ τι πρᾶγμα ἀναχάνοις, αὐτίκα ἂν ἐτεθνήκειν. ἀπὸ δὴ τοιαύτης ψυχῆς τί ἂν ἀκούσαις ἡδὺ φιλτάτη ψυχή; ἀπέρρυε γάρ μοι ἀτεχνῶς εἴ τι μοι δὴ καὶ ὡραῖον συμπέπλεκται. καί σοι ἡ καλὴ ἐκείνη γλῶττα (ἧς ἐρασθεὶς ἐτύγχανες ὤν, καὶ ἀφ' ἧς οὐδὲν πρόθυμον χαμαίζηλον ἔξαυλον, ἀλλὰ καὶ ὑπέρτερον ἴσως χαμόθεν ἀναλαμβάνειν ᾔσθου) κατέψυκται ἀτεχνῶς καὶ αὐχμηρὸν ἀγροικίας περίκειται. εἰ δέ τι καὶ ὡραῖον ἐν τοῖς εἰκόσι (λέγω δὲ οὕτω τοὺς ἀπλοῦς χάρτας) ὂν ὑπὲρ τὴν ἐμὴν χάριν καὶ δύναμιν, ἀλλὰ τὴν πρὸς σέ μοι φιλίαν. δι' ἣν δοκεῖ μοι κἂν ἐξ ᾅδου φωνὴν ἀφεῖναι χαρίεσσαν. εἰ μὴ τῶν ἐν ᾅδου τὰ τῇδε καὶ πολὺ σκυθρωπότερα. Ἀλλὰ πότε σε καὶ τὴν ξύμπασάν σου θεάσομαι εἰκόνα, τὸ τιμιώτατόν

ἐπιγδόμενος κωκύδον. καὶ ἵνα δὴ καλὸς πρὸς αὐτὸν καὶ ἄτεχνος Ῥήτωρ γίνωμαι, ὕστερα τὰ πρῶτα τιθείς. οὐ γὰρ δεῖ λόγον τοῖς ἀλόγοις ἐπαγαγεῖν. τοιοῦτος αὐτῷ καὶ ὁ πατὴρ, καὶ ἡ μήτηρ, καὶ ὁ ἀδελφός. ἀλλὰ τὰ μὲν τοῦ φύσαντος, ἑτέροις ἀφίημι λέγειν. ἡ δὲ μήτηρ αὐτοῦ (ἣν καὶ τεθέαμαι) μάγος καὶ φαρμακὶς, καὶ οἷα ἐλευθέρας φύσεις ἀνδραποδίσασθαι. καὶ πόρρω τῆς ἐνεγκούσης ἀπαγαγεῖν, ὁποῖον αὐτὸς ἀεὶ τὰ φίλτατα παρ᾽ αὐτῆς πέπονθεν. ὁ δὲ ἀδελφὸς (καὶ ταῦτα ὕπω ἡβήσας) οὐδὲν αὐτῷ ἀπεικός. ἵνα συνελὼν εἴπω τὸ πᾶν, τοιοῦτος ὁ παπᾶς ὁ ἐμὸς, ὦ τί ἂν ἱστορήσαιμι, ἢ ταχέως θανεῖν; ὥστε μὴ τοιοῦτον ἐν ἑαυτῷ θάλπειν κακόν:

Τοῦ αὐτοῦ Κωνσταντίνῳ ἀδελφῷ.

Οἶδα ὅτι ἐρᾷς ἐπιστολῶν ἐμῶν, καὶ συχνῶν, καὶ καλῶν, ὦ τέκνον σοφίας ἐπήρατον. καὶ πῶς γὰρ οὐ μέλλεις ὑφ᾽ ὧν ἐγράφης πρὸς παίδευσιν, καὶ ἃ τῶν ἄλλων προέκρινας; Ἐγὼ δ᾽ ἔοικα μὴ δυνάσθαι νῦν ἐμπλῆσαί σου τὴν ψυχὴν τοῦ ἐραστοῦ τούτου δὴ πράγματος, καὶ παραμυθήσασθαί σου τὸν ἔρωτα. πρῶτον μὲν, ὅτι μοι καὶ ἡ χεὶρ (ὥσπερ δὲ οἱ τοὺς πίνακας γράφοντες) ἀργοτέρα πως ἐγεγόνει τῷ χρόνῳ πρὸς τὰς τῶν λόγων μορφάς. ἔπειτα δὴ καὶ τὸ γόνιμον ἐκεῖνο καὶ εὔτονον τῆς ψυχῆς, ἀμβλύτερον μὲν ἴσως οὐκ ἐγεγόνει (τί γὰρ δεῖ με τἀληθῆ λέγειν) ἀλλ᾽ ἐπέχον τὴν γνώμην ὠδίνουσαν τὰ ἐνταῦθα δεινά. ἐπεγείρεται γὰρ ἀεί μοι κῦμα ἐπικύματι. καί μοι τὸ σῶμα ὅσον καταβαλὲς ἤδη κἂν ὕπω βέβληται. τέως γὰρ ἀφόρητόν τι μοι ἐδόκει κακὸν ἡ ἄμετρος ἐνταῦθα περιαγωγὴ, καὶ τὸ μὴ ἵδρυσθαί με, ἀλλ᾽ ἀεὶ ἐλαύνεσθαι. καὶ οὐδὲ διὰ ῥᾳδίας, οὐδὲ διὰ λείας καὶ τετριμμένης. ἀλλὰ νῦν μὲν διὰ βαθείας φάραγγος, αὖθις δὲ δι᾽ ὀρέων ὑψηρεφῶν, αἵματί τε ποταμῶν κεκραμ-

σάμενον). τὸ τοῦ Σαυάνου. καὶ τὸ τοῦ Μελιτράγου. τὸ γὰρ τοῦ Γοργοπλούτου φησὶν εἰς τὸ κατόπιν ἀναποδίσαι, τοῦ νέως ἐκείνου μὴ πάνυ τὴν τύχην ἐξακριβοῦντος. οἶδε δὲ ὑπὲρ τίσιν μὲν ὁ ἄκρατος πωλεῖται, τίνες δὲ τοῦτον ἐπινοθεύουσι. καὶ ποῦ μὲν ὁ μελάντατος πλείων. ποῦ δ' ὁ κιῤῥὸς καὶ λεπτός. καὶ ὅτι τὰ πρῶτα τούτου ὁ χῖος. δυναμικώτερος γάρ φησι τῶν ἄλλων, καὶ θρέψαι φύσιν σώματος αὐταρκέστατος. Ἆρ' οὖν ταῦτα μὲν τοιοῦτος, καὶ τοὺς ἐπὶ τούτοις διαβοῶντας ὑπερηκοντικώς, εὐπρεπὴς δὲ τὸ σχῆμα καὶ μέτριος; καὶ πόσα ἄν τις εἰπὼν τὰ διεστραμμένα τούτου ἐξαριθμήσαιτο σχήματα; ἢ πῶς ἂν τὴν ποικίλην ἐκφράσειεν; ἃ μὲν ἐξεπίτηδες παίζων καὶ φλυαρῶν διασχηματίζοιτο, μὴ κείσθω ἐν αἰτιάμασι νῦν, ἀλλ' ἔσω ταῦτα τῆς παιδιᾶς. οἷα δ' αὐτῷ τὰ εὐσχήμονα, διαστρέφει τὰ χείλη μηδενὸς ἀναγκάζοντος. νῦν μὲν ἐπὶ τὰ δεξιά, νῦν δ' ἐπὶ τὰ εὐώνυμα ἀθρόον. καὶ τὸ αὐτὸ σχῆμα πολλάκις στρέφει τοὺς ὀφθαλμούς, ὕβριν ἀποπνεῖ τῶν μυκτήρων καὶ ὑπερφρόνησιν. διαλλάττει τὴν κεφαλήν, ἀνασηκοῖ τοὺς ὤμους, καὶ μεταπίθησι τὰς χεῖρας. νῦν μὲν ὑπερωμίσας, ἐκτείνας κατὰ τῆς ῥάχεως. νῦν δ' ἀμφοτέραις διασπαράττει, καὶ τοὺς μυελοὺς διαξέεται, καὶ ἄλλο τι τῶν ἀτοπωτέρων ποιεῖ. τοὺς πόδας οὐδέ ποτε συνηρμόσατο, οὐδ' ἐπὶ τῆς αὐτῆς ἐστὶ βάσεώς τε καὶ τάξεως. ἀλλὰ τὸν ἀριστερὸν ἐρείσας καὶ εὐθεῖαν τῇ γῇ ἐπὶ θάτερον νεύσας, ἀντιπεριάγει τούτῳ τὸν δεξιόν, κἂν εἴπῃς τοῦτον ἰδὼν ἀποπλήξειεν. ὁ δὲ διορθῶσαι τὸ σχῆμα βουλόμενος, ἐναλλάττει τὼ πόδε, καὶ ἔστιν αὐτῷ διόρθωσις ἡ ἀντίθεσις. ἀριστᾷν δὲ ἢ δειπνεῖν προαιρούμενος, ἀναστρεπτεὺς ἐπὶ τοῦ καθήκοντος. νῦν μὲν διασείων τὴν τράπεζαν τοῖς συνδείπνοις ἐξεπίτηδες, καὶ ἀνατρέπων τοὺς πινακίσκους καὶ τὰ τρύβλια. νῦν δὲ ἄμφω τὼ χεῖρε βάλλων κατὰ τὰς χύτρας, καὶ ὁμοῦ τήν τε λοπάδα καὶ τὸ τάγηνον ταῖν χεροῖν ἀμφοτέραις διασπαράττων, καὶ

ἀπο-

τυγχάνουσιν οἶδεν. οὕτω πάσης ἀμοιρεῖ καὶ τάξεως καὶ παιδεύσεως. Ἀλλὰ τούτων μὲν ἀπεστέρηται, ἡ δέ γε εἰδέα τῆς καθ' αὑτὸν ζωῆς εὐσχήμων, καὶ οἵαν εὔξαιτ' ἄν τις τῶν τὰ κρείττω ζηλούντων μιμήσασθαι; οὐ μὲν οὖν. κυβεύει μὲν γὰρ ὅσαι ὧραι, οὐ τὴν συνήθη ταύτην κυβείαν, καὶ ἣν ἄν τινες τῶν εὖ βιούντων ἐς διάχυσιν ἐστηκυίας γνώμης συμπαίξειαν, ἀλλὰ τὴν ἐκτετραμμένην καὶ ἐπίρρητον. πεττεύει γοῦν αὐτῷ πολυειδεῖς καὶ ποικίλοι, οἱ μὲν πλείω, οἱ δ' ἐλάττω βάλλοντες. καὶ οἱ μὲν ἐς περιττὰ τοὐπίπαν ἀναρριπτούμενοι στίγματα. οἱ δὲ εἰς ἄρτια. περιλαμβάνει τε ἀριθμούς τινας καὶ ἀντιδίδωσιν ἑτέρους, καὶ τίθησι τούτους ὡσανεὶ σκοπούς καὶ πρὸς τὰ διωμολογημένα διαπραγματεύεται. ἀντεμβάλλει τε καὶ τοῖς πλείοσι καὶ τοῖς ἐλάττοσι, καὶ τινὰς δυνάμεις ἐπὶ τούτοις ἀνακικλήσκεται, ὧν αὐτὸς ἂν εἰδείη καὶ τὰς ἐνεργείας καὶ τὰ ὀνόματα, οὕτω πολὺς ἐστὶ τῶν φαύλων τῶν ἐπισήμων. ἐπιχειρεῖ τε τοῖς κακοῖς, καὶ ἀπεξεργάζεται, ἄλλα ἐπ' ἄλλοις ἐφευρίσκων τῆς τοιαύτης κακοτεχνίας. διημερεύει τε καὶ παννυχίζει ἐπὶ τοῖς τοιούτοις κακοῖς. καὶ τὴν πλίαν οὐκ ἀφίησι τῶν γονάτων, ἀλλ' ὥσπερ τινὰ δέλτον μεταχειρίζεται. ἔστι δ' ὅτε καὶ μὴ ὄντος τοῦ ἀνταγωνιζομένου, αὐτὸς πρὸς ἑαυτὸν ἁμιλλᾶται σκιαμαχῶν ἄντικρυς. Τὰ δὲ ἐν τούτοις διαλείμματα, ἀργὰ ὥσπερ τῶν ἐν πυρετοῖς περιόδων, ἥσυχά † καὶ ἀναπαύσιμα; οὐ μὲν οὖν· πότοι γοῦν καὶ καπηλεῖα τὰ προηγησάμενα δέχονται. καὶ νῦν μὲν ἄκρατον ὑπορρόφει τὴν Ἀνθεσμίαν. νῦν δὲ κιρνᾷ μέν, ἀλλ' ὀλίγῳ καταμιγνύων ὕδατι χλιαρῷ, ἵνα μὴ τὴν τοῦ ἀκράτου δύναμιν φησὶν ἐλαττώσῃ. οἶδε γὰρ ἐν τοῖς τοιούτοις φιλοσοφεῖν. πολλάκις δὲ αὐτὸς τὸ ἐκ τῶν Μεγαρέων κεράμιον ὑποῖξ ταῖν χεροῖν λαβόμενος, καὶ ἀμφότερα μετεωρίσας, καὶ τοῖς χείλεσι προσαρμόσας, ἀπνευστὶ πίνει καθάπερ οἱ βόες. διηκριβώσατο δὲ ξύμπαντα τὰ καπηλεῖα τῆς πόλεως. ἐρᾶται δὲ τῶν πάντων πίθων (ὡς αὐτοῦ πολλάκις ἠκροασάμην)

Νικηφόρος ὁ καθηγούμενος Πάτμου, τῷ ὁσιωτάτῳ καὶ λογιωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ Μαξίμῳ εὖ πράττειν.

Χαίρω σοφῶν ἐντυγχάνων γράμμασι, καὶ οἶμαι τῶν ἄλλων οὐδενὶ κατὰ τοῦτο παραχωρεῖν τῶν πρωτείων, οὕτω καθ' ὑπερβολὴν τῷ πάθει τούτῳ κεκράτημαι. εἰ δὲ καὶ παρὰ φίλων ἐγχαραχθεῖσι, πάσης ἂν οἴει με τῆς ἡδονῆς πληροῦσθαι. Καὶ σοῖς τοίνυν ἐντυχὼν γράμμασιν ἀποσταλθεῖσι μοι παρά σου, καὶ σοφοῦ, καὶ φίλου, πῶς οὐκ ἔμελλον οὐ μετρίως ἡσθῆναι; τοῦτο μὲν, διὰ τούτων τὸ πρὸς ἡμᾶς εὔνουν σου, καὶ τὸ τῆς φιλίας εἰλικρινὲς στοχαζόμενος. τοῦτο δὲ, καὶ τὸ ἐν λέξεσι κομψὸν, καὶ τὸ τῶν ὀνομάτων ἀττικὸν, καὶ ἀκριβῶς ἑλληνικὸν ἐν τούτοις κατανοῶν. Αἲ γὰρ Ζεῦ τε πάτερ (φαίην ἂν κἀγὼ κατὰ τὸν ὁμηρικὸν Ἀγαμέμνονα) καὶ Ἀθηναίη καὶ Ἄπολλον, τοιοῦτοι δέκα μοι εἶεν υἷες Ἀχαιῶν, τάχ' ἂν ἐξῆς τὰ νῦν ἀπαιδευσίας τὸ τῶν Ἑλλήνων δυστυχὲς γένος ἀνήνεγκε, καὶ πρὸς τὴν προτέραν ἀπεκατέστη εὐγένειαν, σοφοῖς καὶ αὖθις κατακοσμηθὲν ἀνδράσι, καὶ ὡς τὸ πάλαι γέγονος ἐπίφθονον. ἀλλὰ ταῦτα μὲν ὡς τῷ θεῷ δοκεῖ, οὕτω καὶ γενήσεται. Σὺ δέ μοι φίλτατε (καλῶ δέ σε ὡς υἱὸν, τοῦ χρόνου τοῦτο μοι φιλοτιμουμένου) φιλοπόνως πρόσκεισο τῇ ἀναγνώσει τῶν τε ἡμετέρων νῦν, καὶ τῶν θύραθεν τῶν πρὶν ἡμετέρων. ἐκ μὲν τῶν, τὴν ὕλην λαμβάνων καὶ τὸ τῶν λόγων ὑποκείμενον. ἐκ δὲ τῶν, τὸ εἶδος (εἰ χρὴ οὕτω φάναι) καὶ διὰ τοῦτο κατακοσμῶν αὐτοὺς, ἐρασμιωτέρους τε ἀποδεικνύων. ἵνα καὶ ἡμᾶς μὲν εὐφραίνῃς τοιαῦτ' ἐργαζόμενόν σε πυνθανομένους, καὶ τὸ γένος δὲ τὸ ἡμέτερον ἐπὶ ποσὸν γοῦν ἐπιδοῦναι δυνηθῇ. τὸ δὲ ἐξαίρετον καὶ πρῶτον, ἵν' ὁ θεὸς δοξάζηται καὶ παρὰ πάντων εὐλογῆται. ὃν εὔχομαι ἐρρῶσθαι σε μεμνημένον καὶ ἡμῶν ἐν ταῖς πρὸς αὐτὸν ἱκετηρίοις σου ἐντεύξεσιν. ἀπὸ τῆς καθ' ἡμᾶς σεβασμίας μονῆς Πάτμου τῇ. ζ. τοῦ Μαρτίου. αχζ.

πλεῖν. τῆς δὲ μέχρι τήμερον σιωπῆς ἡμῶν αἴτιον, τὸ μὴ εἰδέναι οἷ γῆς ἐτύγχανες ὤν. νυνὶ δέ σε κατὰ Γαλατᾶν τὰς διατριβὰς ποιούμενον μαθόντες, καὶ τῷ τοῦ ἁγίου Νικολάου προσεδρεύοντα ναῷ, γράφομεν τουτί, σημεῖον μὲν τῆς νῦν ἀγάπης. τεκμήριον δὲ τῆς πάλαι ποτὲ φιλίας ἐκείνης:

Ὁ αὐτὸς Μιχαήλῳ τῷ Κράλῃ.

ΠΕνταετῆ φασὶ τοῖς τῷ Πυθαγόρᾳ φοιτᾶν αἱρουμένοις ἐπιτετράφθαι σιωπὴν ἄγειν, ὡς ἂν ἢ τὸ τῶν προσφοιτώντων πρὸς τὴν καθηγητὴν ὑπακοή, κἀκείνου ἡ καινοτέρα πρὸς ἐκείνους ἀλαζονεία φανείη. διὸ καὶ οὐδὲν ἕτερον αὐτοῖς τοῦ, αὐτὸς ἔφα, ἐπιτέτραπτο λαλεῖν. Σοὶ δὲ δὶς ἤδη τῷ σοφῷ Νικηφόρῳ κατὰ Πάτμον φοιτήσαντι, καὶ τῶν λόγων ἐκείνου εἰς κόρον κατατρυφήσαντι, οὐκ οἶδ' ἀνθ' ὅτου, τὸ λαλεῖν ὅλως καὶ ταῦθ' ἐξαετίας τέως διεππεδασάσης, οὐκ ἐπιτέτραπται. ἀλλ' ὡς ἔοικεν ἐπιτέτραπται μέν. (εἰ μή που μακρότερον Πυθαγόρου τοῖς μαθηταῖς ἐπενόησε Νικηφόρος τὴν σιωπὴν) οὐ μὴν δὲ πρὸς πάντας τῷ λαλεῖν χρῆσθαι. εἰ γὰρ μὴ ταῦθ' οὕτως εἶχε, πάλαι ἂν ἔλυσας τὴν σιωπὴν, λακωνικὴν γοῦν γράψας ἐπιστολήν. τί γὰρ ἂν ἄλλο εἴη τὸ ἀπεῖργον σου τὴν παίδευσιν οὕτω μακρᾷ χρῆσθαι σιγῇ, καὶ ταῦτα συνεχῶς ἡμῶν ἐπιστελλόντων, συνειδέναι οὐκ ἔχω. πλὴν ἀλλὰ τουλοιποῦ οὐκ ἂν φθάνοις ἐπιστέλλων τὰ κατά σε ὡς ἔχει δηλῶν. ὡς δὲ καὶ τό γε νῦν εἶναι τὸ πρόθυμον ἡμῶν πρὸς τὴν σὴν λογιότητα ἔκδηλον γένοιτο, οὐ δίκαιον ἡγησάμεθα καὶ μὴ διὰ τοῦ παρ' ὑμᾶς νῦν ἐρχομένου προσειπεῖν σου τὴν ἀγάπην. εἰ σοὶ φίλον τὰ καθ' ἡμᾶς εἰδέναι, παρ' αὐτοῦ γε εἴσῃ. εἰ δὲ ποθ' ἡμῖν γένοιτο ἐς Κωνσταντίνου ἀφικέσθαι, τότε δὴ καὶ ἃ φίλου, καὶ ὅσα φίλου, καὶ ὡς φίλον, διὰ ζώσης φωνῆς πεύσει. ἔρρωσο αχβ.

δεῖ μὴ συνδιαιτᾶσθαι ἀλλήλοις νυκτός τε καὶ ἡμέρας, ὅσον οἷόν τε συγχωρητέον αὐτοῖς. ἕως μὲν γὰρ τὸ ἀγγεῖον ἀρραγές, εὔχρηστον πᾶσιν. ἐπειδὰν δὲ διαρραγῇ πως, οὐδὲ ὕδωρ συνέχειν τουλοιποῦ χρήσιμον. καὶ τούτων πέρι ἀρκεῖν ἡγούμεθα. Περὶ δὲ τοῦ ἐνταυθοῖ παραγεγονότος ἀδελφοῦ, οὐδὲν γράφομεν. ἀνοικειότατα γάρ φασι κατηγορεῖν τοῦ κομίζοντος μῆκος ἐπιστολῆς. αὐτὸς δὲ πρὸς ἡμᾶς αὖθις ἐλθὼν κατερεῖ ἀμηκέστατα. γράφε ἡμῖν τὰ πράγματα σαφῶς, ὅπως εἰς τὴν τούτων ἐπανόρθωσιν συμπράττοιμέν σοι διὰ γραμμάτων. ἔρρωσο. ͵αχβ.

Ὁ αὐτὸς Γαβριὴλ ἱερομονάχῳ.

ΚΑλῶς τοῖς θεολόγοις εἴρηται, ὡς ἡ πρᾶξις τῆς θεωρίας τυγχάνει ἐπίβασις. θεωρία γὰρ πράξεως χωρίς, οὐκ ἂν εἴη θεωρία. ἡ μέντοι πρᾶξις τῆς θεωρίας ἐνδεῶς ἔχουσα, οὐ ψεκτή, ἅτε οἵα τε οὖσα τῷ βουληθῆναι ἐπ' αὐτὴν ῥᾷστ' ἀναβῆναι. Σὲ τοίνυν πρακτικὸν ὅτι μάλιστα πάντες φάσκοντες εἰσί, οὐδὲ τῆς θεωρίας πάντως δι' ἧς τὸ ὂν τοῖς ταυτησὶν ἀντιποιουμένοις εὑρίσκεται, ἀμελῶς πάμπαν ἔχειν πείθομαι. ταυτὶ δὲ ποιοῦντα, καὶ ὧν τὴν θεωρίαν διὰ τῆς πράξεως μετέρχῃ τετυχηκέναι ἀκόλουθον. οὗ τί γένοιτ' ἂν ἥδιον; ἀντιποιητέον δὴ οὖν σοι τῆς πράξεως δικαίως, ὡς ἂν ταύτῃ γ' εὐσεβῶς τῆς θεωρίας τύχοις, δι' ἧς σοι οὗ ἕνεκα ταῖς δυοῖν ταύταις ἠράσθης μετασχεῖν γένοιτο. ἀλλὰ ταυτὶ καὶ μὴ προτρεπομένου μου πράττειν σε πρὸς πάντων θρυλλεῖται. ἡδονὴ δέ μοι μεγίστη, τοιαῦτα περὶ τῆς σῆς φίλης ἐπηχουμένῳ ψυχῆς ἀεί. τοῦτο μὲν, τὸ τῆς αὐτῆς μοι κοινωνεῖν πατρίδος. τοῦτο δέ, τὸ ἐς τὴν ἄκραν (ὥς γ' ἐμαυτὸν πείθω τοῖς καθ' ἐμὲ τὰ σὰ τεκμαιρόμενος) φιλίαν σε ἡρμοσμένον μοι εἶναι. ἐξ ὅτου περ ἧκες ἐς Ἀλεξάνδρου, καὶ ἡμᾶς τέως τῆς εὐθὺ Κωνσταντίνου δι' ἃς οἶδας ὑποθέσεις ἠνάγκασας

πλεῖν

καιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς μέλλει· οἷς ὑμᾶς νηπιόθεν δοκοῦμεν ἐντραφῆναι. οὐ μὴν ἀλλὰ καὶ τὴν ἄλλας πῶς διακειμένων πρὸς αὐτὸν, ὑπερηύχετο ἐς τὸ ἀγαθὸν ἐπανελθεῖν καὶ μεταβάλλεσθαι. οὐ μέντοιγ' γε ἐμίσει τινὰ τοῦ δράματι, εἰ μὴ τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὡς καὶ Δαβὶδ τέλειον ἐμίσει μῖσος. οὓς τῆς κακίας μὴ μεταβαλλομένους ἑώρα. ἀλλὰ τούτων περὶ μακροὺς τείνειν λόγους τόγε νῦν εἶναι, μακρὸν καὶ παρέλκον ἂν εἴη. ἔρρωσθε. αχβ.

Ὁ αὐτὸς Ἰωάννῃ.

Ὅτι μὲν ἄριστα ὑμῖν τὰ κατὰ τὸν γηραιὸν μὲν ἐκεῖνον τὸ δοκεῖν, νέον δὲ ἢ παντὸς νεώτερον (οὐ γὰρ ἡμέραι πλείους, οὐδ' ἔτι πολλὰ τῷ ἀριθμῷ, ἀλλὰ φρόνησις κατὰ τὸν Σολομῶντα τὸ γῆρας ἐξεικονίζει) βελτιωθεῖσι διατετέρακται, οὐδεὶς ὅστις φρονήσεως μέτεστι καὶ εὐσεβείας ὁπωσοῦν μέλλει, ἀντιρρήσειν ἄν. ἔτι δὲ οὐ Προμηθέως ἀλλ' Ἐπιμηθέως ἔργον πεπράχατε, τὸν οὗ ἐπεμελεῖτο ὁ γέρων παῖδα τὴν κακίαν αὐτόσε παρ' ὑμᾶς ἐνδιαιτᾶσθαι καταλιπόντες παῖδα, δῆλον ἂν εἴη τοῖς γε νοῦν ἔχουσιν. οὐ γὰρ ἐπ' ἀγαθῷ τινι τουντεῦθεν ὁ παῖς παρ' ὑμῖν τυγχάνει γε ὤν. διὰ ταῦτα ἀποδόσθαι ἔδει ὑμᾶς τουτονὶ τῷ αὐτοῦ δεσπότῃ, μὴ ἱκανὸν μηδ' εὐφυᾶ εἶναι πρὸς τὰ γράμματα ἐκμαθεῖν εἰπόντας, τέχνην δέ τινα τῶν βαναύσων διδαχθῆναι ἔτι πρόσφορον ὄντα. τοῦτο δὲ ἂν ἡμεῖς ἀπ' ἐντεῦθεν ἐποιήσαμεν ἤδη, εἰ διεφθάρθαι τὸν παῖδα πρὸς τοῦ γέροντος ἐδεδηλώκεις. ἀλλὰ γὰρ ὁ παρ' ἡμᾶς τέως ἐπιδημήσας, ἣ ἃ αὐτὸς ἔφθης γεγραφὼς ἐναργῶς ἀπαγγέλλει. πλὴν ἀλλ' ἐπεὶ μεμένηκεν (ὡς οὐκ ὄφελεν) ἐν ὑμῖν ὁ παῖς (ὁ Γεώργιος δηλαδή) φυλακτέον ὑμῖν πάσῃ φυλακῇ, ἵνα μὴ καὶ ἀλλήλων ἐκκαυθῶσιν οἱ παῖδες, εἴγ' ἔτι οὐκ ἐξεκαύθησαν. φύσεως γὰρ ἰσὸν πονηρᾶς ἀμφοτέροι. διὰ ταῦτα τὸ γράμμα τὸ ἀπὸ τοῦ

τοίνυν ὡς τῷ μακαρίτῃ ἐκείνῳ πατρὶ ἡμῶν Μελετίῳ, οὐδὲν ἦν ἀπόκρυφον ὅσ' ἡμῖν οὐκ ἀπεκάλυπτο· οὐδὲ ἐπράττετο τι αὐτῷ πώποτε, ὃ καὶ ὑμῖν ἅτε γνησίοις αὐτοῦ τέκνοις οὐκ ἐκοινώνει. ἐκεῖνα γὰρ κρύβδην καὶ ἐν παραβύστῳ ποιεῖσθαι ἡγητέον, ὅσα κακίας ἔχεται, πρὸς δέ γε αἴσχους τε καὶ ἄγους οὐκ ἀπηλλαγμένα τυγχάνει γε ὄντα. ἃ οὐ μόνον γίνεσθαι αἰσχρὸν, ἀλλὰ καὶ λέγεσθαι πανταπασιν αἴσχιστον. ὅσα δὲ οὐ τοιαῦτα (οἷα ἦν τὰ τῷ μακαρίῳ ἐκείνῳ Μελετίῳ λεγόμενά τε καὶ πραττόμενα, καὶ δὴ καὶ ξυγγραφόμενα) φανερῶς χρὴ γίνεσθαι ὥσπερ ἐν αἰθρίᾳ, ὡς ἂν εἴη κατάδηλα πᾶσι κακοῖς τε, καὶ τοῖς οὐ τοιούτοις. τοῖς μὲν, εἰς μείζω ἐπίδοσιν ἀρετῆς· ἐκείνοις δὲ, εἰς ἀνάληψιν καλοκαγαθίας καὶ παροξυσμόν. οὐδέποτε οὖν ἔγνωσται ἡμῖν, οὔτε εἰπεῖν ἐκεῖνον καθ' ὑμῶν μικρὸν ἢ μεῖζον, οὔτε πρᾶξαι, οὐθ' ὅλως ξυγγράψαι. τούτου χάριν ὑμῖν μᾶλλον τοῖς τὰ ἐκείνου πάντ' ἀκριβῶς εἰδόσι πιστεύειν ὑμᾶς δεῖ, ἢ τοῖς τῷ ἐκείνου ὀνόματι ἐν τοῖς σφῶν αὐτῶν θελήμασι τοῖς κακοῖς τε καὶ ψευδέσι καταχρωμένοις, τῷ μηδὲν σφίσιν αὐτοῖς συνειδέναι πίστεως ἄξιον. θαυμαστὸν δὲ οὐδὲν ψευδαποστόλους καὶ ἀντιχρίστους πολλοὺς εἶναι καὶ νῦν ἐν κόσμῳ κατὰ τὸν μακάριον Ἰωάννην, ὧν τὰ ἀπύλωτα καταφράττειν στόματα, Πέτρου ἂν εἴη τινὸς τοῦ κατὰ Σίμωνα καταβαλόντος, ἢ Παύλου τὸν Ἐλύμαντα. ἐκείνοις γὰρ ἄντικρυς ἐοίκασιν οἱ νῦν κατὰ τοῦ μακαρίου ἢ λέγοντες εἰσὶν ἢ γράφοντες. ἀλλὰ καὶ οἱ λέγοντες (ὁποῖοι ποτὲ εἰσὶν) ὡς ὁ Μελέτιος παρόντας μόνον ἐφίλει τοὺς ἑαυτοῦ φίλους, ἀπόντας δὲ οὐ, ψεύδονται ἀτεχνῶς, τοῖς τὸ πικρὸν γλυκὺ (κατὰ τὸν προφήτην) λέγουσι, καὶ τὸ σκότος φῶς τιθεμένοις, καλὸν δὲ τῷ κακῷ ἐοικότες. ἤδη γὰρ ἐκεῖνος ὡς σοφώτατος καὶ ἀρετῆς φθάσας ἐς τὸ ἀκρότατον, οὐ μόνον παρόντας, ἀλλὰ καὶ μακρὰν ἀπόντας τοὺς φίλους ἀγαπᾶν. φίλοι δὲ ἐκείνῳ ἐτύγχανον ὄντες, οἷς δι-

καιο-

καθάπερ γὰρ τοῖς ὀφθαλμοῖς βλέπειν τὰ πάντα διὰ τοῦ ἀέρος ἐπιτέτραπται, ἑαυτοὺς δὲ οὐ, τὸν αὐτὸν τρόπον καὶ τοῖς ἐπισφαλῆ τινα ποιοῦσιν, ἢ μὴ τοιαῦτα, οὐχ οἷόν τε πάνυ ἀκριβῶς συνορᾶν, εἰ μή που καὶ ἑτέροις κοινωθείη. ἀνθ' ὅτου μὴ δείσῃς, μᾶλλον δὲ μὴ ἀναδύου διορθώσασθαι τὰ ἡμέτερα, εἴ που διορθώσεως δέοιτο, ὡς καὶ ἡμεῖς τὰ σὰ ἐς δύναμιν. οἶμαι δ' ἀρκέσειν ταυτὶ, καὶ τοῖς οἷς σεσιγηκέναι με φατὲ, μὴ γράψαντα ὑμῖν χρόνου τοσούτου παρεμπεσόντος.

Ὁ αὐτὸς Ἀρσενίῳ καὶ Ἀνθίμῳ τοῖς ἱερομονάχοις.

Ἔναγχος τοῖς ὑμετέροις φιλικοῖς ἐντυχόντες γράμμασιν, ὑπερήσθημεν ὑγιαίνοντας ὑμᾶς ἐπεγνωκότες. οὐχ ἧττον δ' ἂν ἠνιάθημεν τὰ ἐν οἷς ἐστὸν καταμαθόντες σκάνδαλα, τῶν τοῖς αὐτόχθοσι Κυπρίοις τανῦν ἐνεστῶτα πάσχουσιν ἤδη ὑπὸ τῶν σφῶν αὐτῶν ἐπισκόπων, ἰατρείας ἠσπινοσοῦν μεταδοῦναι βουληθῆναι. ταυτὸν γὰρ ὡς ἀληθῶς πεπόνθατον, ὡς εἴ τις ἰατρῶν βουληθεὶς θεραπείαν τινὰ κειμένοις ἐπινοῆσαι, ἑαυτὸν ἐκείνοις συγκατενέγκοι, καὶ μείζω, οὐκ ἐλάττω τὴν ἀρρωστίαν ἐργάσαιτο, ἰατρείας χρήζων, οὐκ ἰατρὸς εἶναι ἐλεγχθείς. ἐπεγένετο δ' ὑμῖν τουθ' οὕτω, τὸ μὴ εἴκειν, ἀλλ' ἀντιπαράττειν βούλεσθαι, τοῖς οἷς ἔδει εἰρήνης μᾶλλον καὶ εὐνομίας, ἢ παρανομιῶν καὶ στάσεων τῶν καὶ ἑαυτοῖς καὶ τῷ λαῷ τοῦ θεοῦ προξενουσῶν ἀπώλειαν ἀντιποιεῖσθαι. Τῷ καὶ ὃ τῷ Ἡσαΐᾳ ποτὲ τὸ τῶν Ἰουδαίων ἀκαμπὲς καὶ ἀντίτυπον ὀνειδίζοντι εἴρηται, καὶ ἐπ' αὐτῆς πληρωθῆναι τέως φαίη ἄν τις μάλα γ' ἐν δίκῃ, Ὅτι οὐκ ἔστιν ἐν αὐτοῖς ὁ λοχαλκρία, καὶ τὰ τούτοις ἑπόμενα. πλὴν ἀλλ' εἴθ' οὕτως, εἴτ' ἄλλως πῶς ταυτί γ' ἔχοντά ἐστιν, οὐχ ἡμέτερον διερευνᾶν τε καὶ ἐλέγχειν, τὰ ἡμῖν ἀνήκοντα σκοπεῖν μόνον ἐθελόντων. Περὶ δὲ ὧν ἡμᾶς ἐπηρωτήσατε ἐπεσταλκότες, ἀκούοιτ' ἂν ἡδέως πάλαι ποθοῦντες. Ἴστε

τοίνυν

χρὴ νομίζειν ἡμῖν μεταδοῦναι, οἷς μετὰ θεὸν οὐδεμία ὁθενδηποτοῦν ἄλλη τις ὑπῆρχεν, οὔτε μὴν ἐλπίζεται παραμυθία; καὶ οἵ τινες ἐξυνήθημέν τε ἐκείνῳ καὶ ἀνεστράφημεν, πρὸς δὲ καὶ ἐς μεῖζον πεφθάκαμεν ἡλικίας. ἐν ᾗ τόγε νῦν εἶναι ἐσμὲν, οὐ μὴν μέχρι τέλους ἀτυχῶς ἐκείνου στερηθέντες, ὅτε τοῖς πείρασιν (ὡς ἂν εἴποι ὁ Προφήτης) ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει ἔδει τοῦ θερισμοῦ ἀπάρξασθαι· πλὴν ἀλλ᾽ οὕτω θεῷ δοκοῦν εἰκλέον, καὶ τὸ ἡμῶν πέρι πλατῆς οὐχ ἧττον φροντιστέον, ὅσον οὐδέπω ἐλαυνομένης, οὐδ᾽ ἂν ἔτι γένοιτο. ἐκεῖνον δ᾽ εὐδαίμονα ἡγητέον καὶ μακάριον οὕτω τὸν τῇδε ἀπαίροντι, ἐφόδια ἱκανὰ τῇ ἐκεῖσε ζωῇ ἁρμόδια, ἔτι ἐνταυθοῖ γε ὄντι προητοιμάσθη τε ἀξίως καὶ προσείργασται. καὶ ᾧ τὸ ἔλαιον δαψιλὲς ἐντεῦθεν ἤδη ἀποδημοῦντι ἀποτεθησαυρίσθη τῷ αὐτοῦ ἀγγείῳ, ὡς ἂν μοι ἐπιλείψαιτο, ὅτε κλίσασθαι, ἢ ἀργύριον καταβαλέσθαι τῶν ἀμηχάνων. τοιοῦτος ἦν ὁ μακάριος τῷ ὄντι ἐκεῖνος (δεῖ γὰρ ἀψευδεῖν) ὃς οὐ μόνον ἑαυτῷ τουτί γε τοὔλαιον προητοίμασεν, ἀλλὰ δὴ καὶ πολλοῖς ἄλλοις γέγονεν αἴτιος τοῦτο ἀντιποιήσασθαι, ἀξίους ἐξάξας πλείους, ἢ ὥστε ἀριθμῷ ῥᾷον περιλαβεῖν, ἐξ ἀναξίων. καὶ διὰ τοῦτο ὡς στόμα (ἦ φησὶ τὸ ἀψευδὲς τοῦ θεοῦ στόμα) χρηματίσας θεοῦ. Ὧ γε δὴ τῷ θεῷ τέως παρισταμένῳ, καὶ ὑπὲρ ἁπάντων οἷς εὐσεβείας τε καὶ ὀρθοδοξίας μέλλει πρεσβεύοντι, καλῶς καὶ σοί γε κατεπάνη ἱκέσιον κανόνα ποιῆσαι, ἵνα ἵλεων δι᾽ αὐτοῦ τὸν θεὸν σαυτῷ ἀπεργάσαι. οὐ δῆτα καὶ ἡμῖν κοινωνήσαιτο, ὡς δῆθεν διορθῶσαι αὐτὸν, τὰ σὰ πάλιν σοί γ᾽ ἐπιστέλλομεν, τὰ ἡμῖν ἤδη πονηθέντα τούτοις συζεύξαντες. ἃ καὶ αὐτὰ τῆς αὐτῆς γε παρά σου τυχόντα διορθώσεως, ἐπανήξοι ἂν εὐτυχῇ παρ᾽ ἡμᾶς. ὡς γὰρ ἡμῖν καλῶς ἔχειν δοκεῖ τὰ ὑμέτερα παρ᾽ ἡμῶν εὐγνωμόνως διορθοῦσθαι, οὕτω δεῖν οἰόμεθα * οὐδὲν μᾶλλον καλῶς ἔχειν παρ᾽ ὑμῶν τὰ ἡμέτερα.

βουλὴν γάρ σοι εὖ ἴσθι περιπόθητε ἥδιον. τοῦτο μὲν, ἀξίῳ (ὡς ἐμαυτὸν πείθω) τόγε εἰς ἀνθρωπίνην ἀξίαν ἥκον ὄντι. τοῦτο δὲ, πρὸς ἀξίου ὡς ἀληθῶς ταύτην δεξαμένῳ. ἥν σε τὸν κύριον παρακαλῶ φυλάττειν ἄτρωτον ἐνισχύειν, καὶ ἀποδοῦναι αὐτῷ σῶον τὸ δῶρον μετά τινος κέρδους τῇ σῇ δυνάμει ἀναλογοῦντος. οὐ γὰρ ἀρκεῖν ἡγητέον τῷ σῶον ἀποδώσοντι τὸ τάλαντον πρὸς τὸ εἰσελθεῖν εἰς τὴν χαρὰν τοῦ κυρίου, εἰ μή τις καὶ ἐπικέρδεια φανείη πρὸς τοῦ λαβόντος, οὐδ' ἂν ἐν καθαρωτάτῳ σουδαρίῳ δεσμευθὲν φυλάττοιτο, καὶ ἀμείωτον τῷ δεδωκότι ἀποδοθείη. πρὸς τοῦτο δὲ τῆς ἄνωθεν ἡμῖν δεῖ βοηθείας, μὴ οἵοις τε οὖσιν αὐτῆς ἄνευ ποιεῖν οὐδέν. ἧς μεταλαχοίημεν δαψιλῶς, αὐτοῦ θείᾳ χάριτι. ἔρρωσο. α χ β.

Ὁ αὐτὸς Γεωργίῳ ἱερεῖ τῷ οἰκονόμῳ Ῥόδου:

Τὸ χαίρειν τοῖς χαίρουσι, καὶ τοῖς κλαίουσι κλαίειν, ἀποστολικὴ οὖσα ἐντολή, πρέπειν ἡγούμεθα τοῖς τῶν ἀποστόλων θιασώταις φυλάττεσθαι. ἄλλως δέ γε δρᾶν, οὐδ' αὐτὴ ἡ φύσις, μὴ ὅτιγε ἡ ἐντολὴ ἐπιτρέπει. εἰ γὰρ τῷ ἀλόγῳ τὸ ζῶον (ὁποῖον ποτ' ἂν εἴη) χαίροντι καὶ λυπουμένῳ (μέτεστι γὰρ καὶ τοῖς ἀλόγοις τούτων) συγχαίρει τε καὶ συλλυπεῖται, σχολῇ γ' ἂν πατρὶ παισὶ λυπουμένοις ἢ χαίρουσι προσῆκεν ἑκάτερα στέργειν. οὐ πᾶσι μέντοι δῆλα ταυτὶ, εἰ μὴ τοῖς τῆς σοφίας ἐρασταῖς. ἧς καὶ ὑμεῖς αὐτοὶ ἀκριβῶς τε ἅμα καὶ ἀόκνως ἀντιποιούμενοι, οὐδὲν ἧττον ἡμῖν ὑμεῖς, ἢ ἡμεῖς ὑμῖν ἐν πατέρων μοίρᾳ τυγχάνουσι τῆς ἀθυμίας τε καὶ χαρᾶς κοινωνεῖτε. Αἴτια δὲ τῆς ἡμετέρας ἀθυμίας πολλὰ μὲν καὶ ἄλλα πολλάκις ἥττω τε καὶ μείζω ὑπῆρξέ τε καὶ ὑπάρχει, ἡ δὲ τοῦ τρισμάκαρος ἐκείνου πατρὸς ἡμῶν κυρίου Μελετίου ἀοίδιμος μετάστασις, πάντα πάντῃ πολλῷ τῷ περιόντι ὑπερηκόντισέ τε καὶ ὑπερακοντίζει. εἰ γὰρ πᾶσι πάντως λύπης οὐ τῆς τυχούσης μετέδωκέ τε καὶ μεταδίδωσι, πόσον τὸ

χρὴ

κάμπτοντι, εἴπερ τῶν βιβλίων ἔναγχος τετύπωται ἑλληνιστὶ δώσεις πάντως, λαβὼν πρὸς αὐτοῦ ὅσα καταθήσειας ὑπὲρ ἡμῶν. ἔρρωσο. ͵αχβ. Γαμηλιῶνος. ζ.

Ὁ αὐτὸς Ναθαναὴλ ἱερομονάχῳ.

Ὤμην τοῖς πολλοῖς καὶ παντοδαποῖς μου γράμμασι, τοτὲ μὲν καθαπτομένοις σου, τοτὲ δὲ νουθετοῦσι τὴν σὴν παίδευσιν. πρὸς δὲ τούτοις καὶ οὐ χρεία ἐγένετο μισιτεύσασι τὸν (ὡς ἂν εἴποι τις) γενναῖον σου θυμὸν καταγωνίσασθαι, καὶ τὴν ἣν διετέλεις ἔχων κατὰ τοῦ μακαρίου ἐκείνου καὶ ἁγιωτάτου τῷ ὄντι ἀνδρὸς Μελετίου, ἀπάνθρωπον ἔριν καταβαλεῖν. Ἐπεὶ δέ σε ὁρῶ τοῖς γράμμασι μᾶλλον ἐπιδιδόντα, ἢ ἐνδιδόντα μικρὸν γοῦν, κρεῖττον ἔκρινα σιγὴν βαθεῖαν τὸ ἀπὸ τοῦδε ἄγειν τὴν ἀρετῆς μητέρα, θεῷ τὸ πᾶν ἀναθείς, ᾧ μέλει πάντων. καὶ γὰρ στέλλεσθαι ἀπὸ τῶν τοιούτων καλὸν ἂν εἴη. ἔρρωσο. ͵αχβ.

Ὁ αὐτὸς Ἀββακοὺμ ἱερομονάχῳ.

Οὐδὲν ἄμεινον δοκῶ μοι τυγχάνειν, σιωπῆς καιρὸν ἐνεχούσης. ἀνθ᾽ ὅτου καὶ οἱ πλείους τῶν πάλαι τῷ θεῷ εὐαρεστήσαντες σιγὴν διὰ πάσης αὐτῶν ἦγον τῆς ζωῆς, τῷ θεῷ μόνῳ ἐν σφίσιν αὐτοῖς ἐντυγχάνοντες. οὓς δὴ καὶ σὺ αὐτὸς καλῶς ποιῶν ἀποδεχόμενός τε καὶ μιμούμενος εἰς δύναμιν, τὰ αὐτὰ ἐκείνοις πράττειν αἱρεῖ, μηδενὶ μηδὲν φθεγγόμενος τοπαράπαν, ἢ σαυτῷ καὶ θεῷ. οὗ δὴ ἕνεκα οὐ μόνον σε ταύτης τῆς προαιρέσεως ἀποδέχομαί τε καὶ ἄγαμαι. ἀλλὰ κἀμὲ τοὐντεῦθεν πράττειν δεῖν οἶμαι σιωπὴν ἀσκεῖν βαθυτάτην, τὸ ἐκ τῆς πολυλογίας ἁμάρτημα ἄφικτον εἰδότα. Τέως μέντοι μοι δέον κατεφάνη (εἴ τι ἂν καὶ γένοιτο) τὴν γραφίδα κινῆσαι, ὡς ἂν ἔγγραφον καταμάθοις ἣν ἐπὶ σοὶ ἔχω χαρὰν, τὸ οὐράνιον τῷ ὄντι καὶ ἀγγέλοις αἰδέσιμον χρῆμα (τὴν ἱερωσύνην φημὶ) ἀναλαβόντι μαθών. ἐς ὑπερ-

Ἐπιστολαὶ Μαξίμου ἱερομονάχου τοῦ ἐκ τῆς Πελοποννήσου.

Μάξιμος Ματθαίῳ ἱερομονάχῳ.

Ἐλπὶς ἡμῖν οὐ πάνυ σμικρὰ μετὰ τὴν ἐγκυρίῳ ἀποβίωσιν τοῦ μακαρίτου πατρὸς ἡμῶν Μελετίου θυμηδίας τι καὶ τέρψεως ὑπολέλειπτο, τὸ πόῤῥωθεν γοῦν πυνθάνεσθαι τὸν μακαρίτην Μάξιμον τὸν Μαργούνιον ζῆν. ὡς δὲ καὶ ἡ τούτου μετάστασις παρὰ πόδας ἡμῖν ἠκούσθη, ποικίλως πῶς διετέθημεν. πότερα τῇ λύπῃ ἡμᾶς αὐτοὺς οἱονεὶ ὑποβρυχίους γενέσθαι ἐᾶσαι, ἢ θεῷ μόνῳ τὰς ἐλπίδας ἀναπτέον, ᾧ οὐχ ἧττον ἡμῶν, εἰ ἡμῖν βουλητὸν μέλλει, καὶ ᾧ τοῦ Ἠλιοῦ ὀδυρομένου ὡς δῆθεν μονωτάτου καταληφθέντος, καὶ τὴν ψυχὴν αὐτοῦ ἀπαιτουμένου, εἴρηται καταλιπεῖν ἑαυτῷ ἑπτακοσίους ἄνδρας μὴ κάμψαντας γόνυ τῇ Βάαλ τοὺς καὶ τῷ προφήτῃ ἀγνοουμένους. Τούτους δὴ τοὺς λογισμοὺς ἡμῖν αὐτοῖς ἀνελίττουσι ποτέρῳ τούτων πειστέον; κρεῖττον ἔδοξε δεῖν τῷ δευτέρῳ πεισθέντας ἡσυχίαν ἄγειν, ἅτε θεῷ μᾶλλον ἀρέσκοντι καὶ εὐσεβείας ἐχομένῳ. ἐκείνους γὰρ ποιοῦντας, θεῷ μαχομένοις ἄντικρυς οὐδὲν διοίσειν οἰηθείη τις ἄν, ᾧ εὐσεβείας ὅλως μέλλει. προνοεῖται γὰρ τῶν καθ' ἡμᾶς τὸ θεῖον, ὡς οὐκ εἴδαμεν ἡμεῖς. εἰ γὰρ τὸν προφήτην οἱ πλεῖστοι (ὧν καὶ Ἠλίας) οἵῳ τρόπῳ τῆς τῆδε κήδεται ἠγνόουν, σχολῇ γ' ἡμεῖς. Ἀλλὰ τούτων πέρι μηκύνειν τὴν ἐπιστολὴν, πολλὰ τὰ τὴν ὁρμὴν ἀνακόπτοντα, καὶ ἄλλοις ταμιεύειν ἀπάγοντα. σοῦ δὲ τὴν εὐλάβειαν παρακαλοῦμεν τὸν κύριον διαφυλάττειν ὑγιᾶ, τῷ γένει ἡμῶν δυστυχῶς ἔχοντι τέως χρησιμεύσουσαν. Τὸν διακομιστὴν τουτωνὶ τῶν γραμμάτων αὐτόσε παραγεγονότα, δι' εὐφήμου γλώττης ἄγειν σου τὴν σύνεσιν πανταχοῦ παρασκεύασον, τῷ φιλοφρόνως αὖθις αὐτῷ προσίεσθαι. ᾧ καὶ ἐπανα-

τυγχάνουσιν οἶδεν. οὕτω πάσης ἀμοιρεῖ καὶ τάξεως καὶ παιδεύσεως. Ἀλλὰ τούτων μὲν ἀπεστέρηται, ἡ δέ γε ἰδέα τῆς καθ᾽ αὐτὸν ζωῆς εὐσχήμων, καὶ οἵαν εὔξαιτ᾽ ἄν τις τῶν τὰ κρείττω ζηλούντων μιμήσασθαι; οὐ μὲν οὖν. κυβεύει μὲν γὰρ ὅσαι ὧραι, οὐ τὴν συνήθη ταύτην κυβείαν, καὶ ἣν ἄν τινες τῶν εὖ βιούντων ἐς διάχυσιν ἐστηκυίας γνώμης συμπαίξειαν, ἀλλὰ τὴν ἐκτετραμμένην καὶ ἐπίρρητον. πιστεῖ γοῦν αὐτῷ πολυειδεῖς καὶ ποικίλοι. οἱ μὲν πλείω, οἱ δ᾽ ἐλάττω βάλλοντες. καὶ οἱ μὲν ἐς περιττὰ. τοὐπίμπαν ἀναρριπτούμενοι στίγματα. οἱ δὲ εἰς ἄρτια. περιλαμβάνει τε ἀριθμούς τινας καὶ ἀντιδίδωσιν ἑτέροις, καὶ τίθησι τούτοις ὡσανεὶ σκοποὺς καὶ πρὸς τὰ διωμολογημένα διαπραγματεύεται. ἀντεμβάλλει τε καὶ τοῖς πλείωσι καὶ τοῖς ἐλάττοσι, καὶ τινὰς δυνάμεις ἐπὶ τούτοις ἀνακικλήσκεται, ὧν αὐτὸς ἂν εἰδείη καὶ τὰς ἐνεργείας καὶ τὰ ὀνόματα, οὕτω πολὺς ἐστὶ τῶν φαύλων τὴν ἐπιστήμην. ἐπιχειρεῖ τε τοῖς κακοῖς, καὶ ἐπεξεργάζεται, ἄλλα ἐπ᾽ ἄλλοις ἐφευρίσκων τῆς τοιαύτης κακοτεχνίας. διημερεύει τε καὶ παννυχίζει ἐπὶ τοῖς τοιούτοις κακοῖς. καὶ τὴν τηλίαν οὐκ ἀφίησι τῶν γονάτων, ἀλλ᾽ ὥσπερ τινὰ δέλτον μεταχειρίζεται. ἔστι δ᾽ ὅτε καὶ μὴ ὄντος τοῦ ἀνταγωνιζομένου, αὐτὸς πρὸς ἑαυτὸν ἁμιλλᾶται σκιαμαχῶν ἄντικρυς. Τὰ δὲ ἐν τούτοις διαλείμματα, ἀργὰ ὥσπερ τῶν ἐν πυρετοῖς περιόδων, ἥσυχά τε καὶ ἀναπαύσιμα; οὐ μὲν οὖν. πότοι γοῦν καὶ καπηλεῖα τὰ περιηγησάμενα διέχονται. καὶ νῦν μὲν ἄκρατον ἀπορροφεῖ τὴν Ἀνθοσμίαν. νῦν δὲ κιρνᾷ μὲν, ἀλλ᾽ ὀλίγῳ καταμιγνύων ὕδατι χλιαρῷ, ἵνα μὴ τὴν τοῦ ἀκράτου δύναμιν φησὶν ἐλαττώσῃ. οἶδε γὰρ ἐν τοῖς τοιούτοις φιλοσοφεῖν. πολλάκις δὲ αὐτὸς τὸ ἐκ τῶν Μεγαρέων κεράμιον ὑπὸ ταῖν χεροῖν λαβόμενος, καὶ ἀμφότερα μετεωρίσας, καὶ τοῖς χείλεσι προσαρμόσας, ἀπνευστὶ πίνει καθάπερ οἱ βόες. διηκριβώσατο δὲ ξύμπαντα τὰ καπηλεῖα τῆς πόλεως. φοιτᾷ δὲ τῶν πάντων πίθων (ὡς αὐτοῦ πολλάκις ἠκροασάμην)

Ἐπιστολαὶ τοῦ σοφωτάτου καὶ ὑπερτίμου Μιχαήλου τοῦ Ψελλοῦ:

Ἐπιστολὴ κατηγορικὴ κατὰ τοῦ ἰδίου Παπᾶ·

Καὶ ποταπὸς παπᾶς ὁ παπᾶς ὁ ἐμὸς, μηθ' εἱρμὸν μήτε τὰ πρὸς εἱρμὸν ᾄδειν εἰδώς. μήτε φωνῆς εὖ ἔχων, μήτε μέλος ἀναβάλλεσθαι δυνάμενος. πολλοῦ γε δεῖ οἴκους καὶ ὑπακοὰς ἐξεπίστασθαι, καὶ ἐφ' ὅτῳ ταῦτα, καὶ ὅθεν. οὕτω πόῤῥω τῆς διακονίας τῆς Λευιτικῆς ἐστὶν, ὅς γε οὐδὲ τὸ σχῆμα δεῖν ἔχειν τὸ ἱερὸν ἡγήσατο. οὔτε γὰρ τὸ χιτώνιον ἀπηκριβώσατο, ἀλλὰ κατὰ τὴν πίζαν διέῤῥηξε, καὶ τὴν τῆς κεφαλῆς κόρσην κομήσειν ἐξεπίτηδες ἐπενοήσατο. Ἀρ' οὖν τῆς μὲν ἐπὶ τοῖς ἱεροῖς διακονίας ἀπέστη καὶ τάξεως, ἑτέραν δὲ ἰδίαν βίου καλλίστην προείλετο; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ πολλὰ μὲν τῶν σεμνῶν ὀνομάτων κικλήσκεται, γραμματικὸς, καὶ νοτάριος, ὥσπερ δὴ καὶ τὸ εἰρημένον ἐπονομάζεται. ἔστι δὲ αὐτῷ ταῦτα, ὥσπερ οἱ ἀργοὶ κύνες παρὰ τῷ Ποιητῇ, καὶ ἡ πόρνη ἑταίρα παρὰ τοῖς Ῥήτορσι σεμνοποιουμένη, καὶ ἡ λαιὰ χεὶρ λεγομένη εὐώνυμος. καὶ οἱ παρ' ἡμῖν αἰθίοπες, τὴν μὲν χρόαν μελάντατοι, ἀργυροὶ δὲ ἐξ ἀντιφράσεως προσαγορευόμενοι. τοιοῦτον αὐτῷ καὶ τὸ γραμματικὸν ὄνομα, καὶ τὸ νοτάριον. Παιδίον μὲν γὰρ ὢν ἐς ἀμφοτέρας ἐφοίτησε τὰς διατριβὰς, καὶ πολλὰ τὴν γυμνασίαν μελήμεψεν, οὐχ ὥστε μαθεῖν, ἀλλὰ τοῖς μανθάνουσι συγχέαι τὴν παίδευσιν. ὡς εἴ τις αὐτὸν ἐρωτᾷ, τί ποτε τὸ ὀρθογραφεῖν, ἢ τὸ ἐπιμεριζόμενον, ἢ κλίσις, ἢ πτῶσις, ἢ λόγου σύνταξις; ὁ δ' ὡς πρὸς βάρβαρά τινα ἐξαπορεῖται τὰ ἐρωτώμενα, καὶ εἰπεῖν τι ἑλληνικώτερον τὸν ἐρωτῶντα καταναγκάζει. στίχους δὲ καὶ ἐπιστίχιον, ἢ παράθεσιν, ἢ κουκούλιον, ἢ δημηγορίαν, γραφικῶς τε, καὶ συγγραφὴν, οὐδ' εἰ ἐν ὀνόμασι τεταγμένα

Νικηφόρος ὁ καθηγούμενος Πάτμου, τῷ ὁσιωτάτῳ καὶ λογιωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ Μαξίμῳ εὖ πράττειν.

Χαίρω σοφῶν ἐντυγχάνων γράμμασι, καὶ οἶμαι τῶν ἄλλων οὐδενὶ κατὰ τοῦτο παραχωρεῖν τῶν πρωτείων, οὕτω καθ' ὑπερβολὴν τῷ πάθει τούτῳ κεκράτημαι. εἰ δὲ καὶ παρὰ φίλων ἐγχαραχθεῖσι, πάσης ἂν οἴει με τῆς ἡδονῆς πληροῦσθαι. Καὶ σοῖς τοίνυν ἐντυχὼν γράμμασιν ἀποσταλθεῖσι μοι παρὰ σοῦ, καὶ σοφοῦ, καὶ φίλου, πῶς οὐκ ἔμελλον οὐ μετρίως ἡσθῆναι; τοῦτο μὲν, διὰ τούτων τὸ πρὸς ἡμᾶς εὔνουν σου, καὶ τὸ τῆς φιλίας εἰλικρινὲς στοχαζόμενος. τοῦτο δὲ, καὶ τὸ ἐν λέξεσι κομψὸν, καὶ τὸ τῶν ὀνομάτων ἀττικὸν, καὶ ἀκριβῶς ἑλληνικὸν ἐν τούτοις κατανοῶν. Αἲ γὰρ Ζεῦ τε πάτερ (φαίην ἂν κἀγὼ κατὰ τὸν ὁμηρικὸν Ἀγαμέμνονα) καὶ Ἀθηναίη καὶ Ἄπολλον, τοιοῦτοι δέκα μοι εἶεν υἷες Ἀχαιῶν, τάχ' ἂν ἐξῆς τὰ νῦν ἀπαιδευσίας τὸ τῶν Ἑλλήνων δυστυχὲς γένος ἀνήνεγκε, καὶ πρὸς τὴν προτέραν ἀπεκατέστη εὐγένειαν, σοφοῖς καὶ αὖθις κατακοσμηθὲν ἀνδράσι, καὶ ὡς τὸ πάλαι γέγονεν ἐπίφθονον. ἀλλὰ ταῦτα μὲν ὡς τῷ θεῷ δοκεῖ, οὕτω καὶ γενήσεται. Σοὶ δὲ μοι φίλτατε (καλῶ δέ σε ὡς υἱὸν, τοῦ χρόνου τοῦτο μοι φιλοτιμουμένου) φιλοπόνως πρόσκεισο τῇ ἀναγνώσει τῶν τε ἡμετέρων νῦν, καὶ τῶν θύραθεν τῶν πρὶν ἡμετέρων. ἐκ μὲν τῶν, τὴν ὕλην λαμβάνων καὶ τὸ τῶν λόγων ὑποκείμενον. ἐκ δὲ τῶν, τὸ εἶδος (εἰ χρὴ οὕτω φάναι) καὶ διὰ τοῦτο κατακοσμῶν αὐτοὺς, ἐρασμιωτέρους τε ἀποδεικνύων. ἵνα καὶ ἡμᾶς μὲν εὐφραίνῃς τοιαῦτ' ἐργαζόμενόν σε πυνθανομένους, καὶ τὸ γένος δὲ τὸ ἡμέτερον ἐπὶ ποσὸν γοῦν ἐπιδοῦναι δυνηθῇ. τὸ δὲ ἐξαίρετον καὶ πρῶτον, ἵν' ὁ θεὸς δοξάζηται καὶ παρὰ πάντων εὐλογῆται. ὃν εὔχομαι ἐρρῶσθαι σε μεμνημένον καὶ ἡμῶν ἐν ταῖς πρὸς αὐτὸν ἱκετηρίοις σου ἐντεύξεσιν. ἀπὸ τῆς καθ' ἡμᾶς σεβασμίας μονῆς Πάτμου τῇ ζ. τοῦ Μαρτίου. αχζ.

πλεῖν. τῆς δὲ μέχρι τήμερον σιωπῆς ἡμῶν αἴτιον, τὸ μὴ εἰδέναι οὗ γῆς ἐτύγχανες ὤν. νυνὶ δέ σε κατὰ Γαλατᾶν τὰς διατριβὰς ποιούμενον μαθόντες, καὶ τῷ τοῦ ἁγίου Νικολάου προσεδρεύοντα ναῷ, γράφομεν τουτί, σημεῖον μὲν τῆς νῦν ἀγάπης. τεκμήριον δὲ τῆς πάλαι ποτὲ φιλίας ἐκείνης:

Ὁ αὐτὸς Μιχαήλῳ τῷ Κράλῃ.

Πενταετῆ φασὶ τοῖς τῷ Πυθαγόρᾳ φοιτᾶν αἱρουμένοις ἐπιτετράφθαι σιωπὴν ἄγειν, ὡς ἂν ἥ τε τῶν προσφοιτώντων πρὸς τὸν καθηγητὴν ὑπακοή, κἀκείνου ἡ καινοτέρα πρὸς ἐκείνους ἀλαζονεία φανείη. διὸ καὶ οὐδὲν ἕτερον αὐτοῖς τοῦ, αὐτὸς ἔφα, ἐπιτέτραπτο λαλεῖν. Σοὶ δὲ δὶς ἤδη τῷ σοφῷ Νικηφόρῳ κατὰ Πάτμον φοιτήσαντι, καὶ τῶν λόγων ἐκείνου εἰς κόρον κατατρυφήσαντι, οὐκ οἶδ᾽ ἀνθ᾽ ὅτου, τὸ λαλεῖν ὅλως καὶ ταῦθ᾽ ἑξαετίας τινὸς προσπελασάσης, οὐκ ἐπιτέτραπται. ἀλλ᾽ ὡς ἔοικεν ἐπιτέτραπται μέν, (εἰ μή που μακρότερον Πυθαγόρου τοῖς μαθηταῖς ἐπενόησε Νικηφόρος τὴν σιωπὴν) οὐ μὴν δὲ πρὸς πάντας τῷ λαλεῖν χρῆσθαι. εἰ γὰρ μὴ ταῦθ᾽ οὕτως εἶχε, πάλαι ἂν ἔλυσας τὴν σιωπήν, λακωνικὴν γοῦν γράψας ἐπιστολήν. τί γὰρ ἂν ἄλλο εἴη τὸ ἀπεῖργον σου τὴν παίδευσιν οὕτω μακρᾷ χρῆσθαι σιγῇ, καὶ ταῦτα συνεχῶς ἡμῶν ἐπιστελλόντων, συνειδέναι οὐκ ἔχω. πλὴν ἀλλὰ τουλοιποῦ οὐκ ἂν φθάνοις ἐπιστέλλων τὰ κατὰ σὲ ὡς ἔχει δηλῶν. ὡς δὲ καὶ τό γε νῦν εἶναι τὸ πρόθυμον ἡμῶν πρὸς τὴν σὴν λογιότητα ἔκδηλον γένοιτο, οὐ δίκαιον ἡγησάμεθα καὶ μὴ διὰ τοῦ παρ᾽ ὑμᾶς νῦν ἐρχομένου προσειπεῖν σου τὴν ἀγάπην. εἴ σοι φίλον τὰ καθ᾽ ἡμᾶς εἰδέναι, παρ᾽ αὐτοῦ γε εἴσῃ. εἰ δὲ ποθ᾽ ἡμῖν γένοιτο ἐς Κωνσταντίνου ἀφικέσθαι, τότε δὴ καὶ ἃ φίλου, καὶ ὅσα φίλου, καὶ ὡς φίλον, διὰ ζώσης φωνῆς πεύσει. ἔρρωσο. φχβ.

δε μὴ συνδιαιτᾶσθαι ἀλλήλοις νυκτός τε καὶ ἡμέρας, ὅσον οἷόν τε συγχωρητέον αὐτοῖς. ἕως μὲν γὰρ τὸ ἀγγεῖον ἀῤῥαγές, εὔχρηστον πᾶσιν. ἐπειδὰν δὲ διαῤῥαγῇ πως, οὐδὲ ὕδωρ συνέχειν τοὐλοιποῦ χρήσιμον. καὶ τούτων πέρι ἀρκεῖν ἡγήμεθα. Περὶ δὲ τοῦ ἐνταυθοῖ παραγεγονότος ἀδελφοῦ, οὐδὲν γράφομεν. ἀνοικειότατα γάρ φασι κατηγορεῖν τοῦ κομίζοντος μῆκος ἐπιστολῆς. αὐτὸς δὲ πρὸς ἡμᾶς αὖθις ἐλθὼν κατερεῖ ἀμηκέστατα. γράφε ἡμῖν τὰ πράγματα σαφῶς, ὅπως εἰς τὴν τούτων ἐπανόρθωσιν συμπράττοιμέν σοι διὰ γραμμάτων. ἔῤῥωσο. ᾳχβ.

Ὁ αὐτὸς Γαβριὴλ ἱερομονάχῳ.

Καλῶς τοῖς θεολόγοις εἴρηται, ὡς ἡ πρᾶξις τῆς θεωρίας τυγχάνει ἐπίβασις. θεωρία γὰρ πράξεως χωρίς, οὐκ ἂν εἴη θεωρία. ἡ μέντοι πρᾶξις τῆς θεωρίας ἐνδεῶς ἔχουσα, οὐ ψεκτή, ἅτε οἵα τε οὖσα τῷ βουληθῆναι ἐπ' αὐτὴν ῥᾷστ' ἀναβῆναι. Σὲ τοίνυν πρακτικὸν ὅτι μάλιστα πάντες φάσκοντες εἶναι, οὐδὲ τῆς θεωρίας πάντως δι' ἧς τὸ ὂν τοῖς ταυτησὶν ἀντιποιουμένοις εὑρίσκεται, ἀμελῶς πάμπαν ἔχειν πίθεμαι. τυπὶ δὲ ποιοῦντα, καὶ ὧν τὴν θεωρίαν διὰ τῆς πράξεως μετέρχῃ τετυχηκέναι ἀκόλουθον. οὗ τί γένοιτ' ἂν ἥδιον; ἀντιποιητέον δὴ οὖν σοὶ τῆς πράξεως δικαίως, ὡς ἂν ταύτῃ γ' εὐσεβῶς τῆς θεωρίας τύχοις, δι' ἧς σοι οὗ ἕνεκα τοῖν δυοῖν ταύταιν ἠράσθης μετασχεῖν γένοιτο. ἀλλὰ ταυτὶ καὶ μὴ παρεγγεπομένου μου πράττειν σε πρὸς πάντων θρυλλεῖται. ἡδονὴ δέ μοι μεγίστη, τοιαῦτα περὶ τῆς σῆς φίλης ἐνηχουμένῳ ψυχῆς ἀεί. τοῦτο μὲν, τὸ τῆς αὐτῆς μοι κοινωνεῖν πατρίδος. τοῦτο δέ, τὸ ἐς τὴν ἄκραν (ὡς γ' ἐμαυτὸν πείθω τοῖς καθ' ἐμὲ τὰ σὰ τεκμαιρόμενος) φιλίαν σοι ἡρμοσμένον μοι εἶναι ἐξότου περ ἧκες ἐς Ἀλεξάνδρου, καὶ ἡμᾶς τέως τὴν εὐθὺ Κωνσταντίνου δι' ἃς οἶδας ὑποθέσεις ἠνάγκασας πλεῖν,

κοσμιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς μέλλει· οἷς ὑμᾶς ἐντεῦθεν δοκοῦμεν ἐντραφῆναι. οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλας πῶς διακειμένων πρὸς αὐτὸν, ἀπερηύχετο ἐς τὸ ἀγαθὸν ἐπανελθεῖν καὶ μεταβάλλεσθαι. οὐ μέντοι γε ἐμίσει τινὰ τὸ παράπαν, εἰ μὴ τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὡς καὶ Δαβὶδ τέλειον ἐμίσει μῖσος. οὓς τῆς κακίας μὴ μεταβαλλομένους ἑώρα. ἀλλὰ τούτων πέρι μακροὺς τείνειν λόγους τόγε νῦν εἶναι, μακρὸν καὶ παρέλκον ἂν εἴη. ἔρρωσθε. ‚αχβ.

Ὁ αὐτὸς Ἰωάννῃ.

Ὅτι μὲν ἄριστα ὑμῖν τὰ κατὰ τὸν γηραιὸν μὲν ἐκεῖνον τὸ δοκεῖν, νέον δὲ παντὸς νεώτερον (οὐ γὰρ ἡμέραι πλείους, οὐδ' ἔτι πολλὰ τῷ ἀριθμῷ, ἀλλὰ φρόνησις κατὰ τὸν Σολομῶντα τὸ γῆρας ἐξεικονίζει) βουληθεῖσι διαπέπρακται, οὐδεὶς ὅτῳ γε φρονήσεως μέτεστι καὶ εὐσεβείας ὁπωσοῦν μέλλει, ἀντερήσοι ἄν. ὅτι δὲ οὐ Προμηθέως ἀλλ' Ἐπιμηθέως ἔργον πεπράχατε, τὸν οὗ ἐπειρᾶτο ὁ γέρων παντὶ τὴν κακίαν αὐτόσε παρ' ὑμᾶς ἐνδιαιτᾶσθαι καταγαγόντες παῖδα, δῆλον ἂν εἴη τοῖς γε νοῦν ἔχουσιν. οὐ γὰρ ἐπ' ἀγαθῷ τινι τουντεῦθεν ὁ παῖς παρ' ὑμῖν τυγχάνει γε ὤν. διὰ ταῦτα ἀποδόσθαι ἔδει ὑμᾶς τουτονὶ τῷ αὐτοῦ δεσπότῃ, μὴ ἱκανὸν μηδ' εὐφυᾶ εἶναι πρὸς τὰ γράμματα ἐκμαθεῖν εἰπόντας, τέχνην δέ τινα τῶν βαναύσων διδαχθῆναι ἔτι πρόσηβον ὄντα. τοῦτο δὲ ἂν ἡμεῖς ἀπ' ἐντεῦθεν ἐποιησάμεθα ἤδη, εἰ διεφθάρθαι τὸν παῖδα πρὸς τοῦ γέροντος ἐδεδηλώκεις. ἀλλὰ γὰρ ὁ παρ' ἡμᾶς τέως ἐπιδημήσας, ἣ ἃ αὐτὸς ἔφθης γεγραφὼς ἐναργῶς ἀπαγγέλλει. πλὴν ἀλλ' ἐπεὶ μεμένηκεν (ὡς οὐκ ὄφελεν) ἐν ὑμῖν ὁ παῖς (ὁ Γεώργιος δηλαδή) φυλακτέον ὑμῖν πάσῃ φυλακῇ, ἵνα μὴ καὶ ἀλλήλων ἐκκαυθῶσιν οἱ παῖδες, εἴγ' ἔτι οὐκ ἐξ ἐκαύθησαν. φύσεως γὰρ ἐστὸν πονηρᾶς ἀμφοτέρω. διὰ ταῦτα τὸ παράπαν τὸ ἀπὸ τοῦ

δι

τοίνυν ὡς τῷ μακαρίτῃ ἐκείνῳ πατρὶ ἡμῶν Μελετίῳ, οὐδὲν ἦν ἀπόκρυφον ὅπερ ἡμῖν οὐκ ἀπεκάλυπτο. οὐδὲ ἐπράττετο τι αὐτῷ πώποτε, οὗ καὶ ἡμῖν ἅτε γνησίοις αὐτοῦ τέκνοις οὐκ ἐκοινώνει. ἐκεῖνα γὰρ κρύβδην καὶ ἐν παραβύστῳ που γίγνεσθαι ἡγητέον, ὅσα κακίας ἔχεται, πρὸς δέ γε αἴσχους τε καὶ ἄγους οὐκ ἀπηλλαγμένα τυγχάνει γε ὄντα. ἃ οὐ μόνον γίνεσθαι αἰσχρὸν, ἀλλὰ καὶ λέγεσθαι παντάπασιν αἴσχιστον. ὅσα δὲ οὐ τοιαῦτα (οἷα ἦν τὰ τῷ μακαρίῳ ἐκείνῳ Μελετίῳ λεγόμενά τε καὶ πραττόμενα, καὶ δὴ καὶ ξυγγραφόμενα) φανερῶς χρὴ γίνεσθαι ὥσπερ ἐν αἰθρίᾳ, ὡς ἂν εἴη κατάδηλα πᾶσι κακοῖς τε, καὶ τοῖς οὐ τοιούτοις. τοῖς μὲν, εἰς μείζω ἐπίδοσιν ἀρετῆς. ἐκείνοις δὲ, εἰς ἀνάληψιν καλοκαγαθίας καὶ παροξυσμόν. οὐδέποτε οὖν ἔγνωσται ἡμῖν, οὔτε εἰπεῖν ἐκεῖνον καθ᾽ ὑμῶν μικρὸν ἢ μεῖζον, οὔτε πρᾶξαι, οὐθ᾽ ὅλως ξυγγράψαι. τούτου χάριν ἡμῖν μᾶλλον τοῖς τὰ ἐκείνου πάνυ ἀκριβῶς εἰδόσι πιστεύειν ὑμᾶς δεῖ, ἢ τοῖς τῷ ἐκείνου ὀνόματι ἐν τοῖς σφῶν αὐτῶν θελήμασι τοῖς κακοῖς τε καὶ ψευδέσι καταχρωμένοις, τῷ μηδὲν σφίσιν αὐτοῖς συνειδέναι πίστεως ἄξιον. θαυμαστὸν δὲ οὐδὲν ψευδαποστόλους καὶ ἀντιχρίστους πολλοὺς εἶναι καὶ νῦν ἐν κόσμῳ κατὰ τὸν μακάριον Ἰωάννην, ὧν τὰ ἀπύλωτα καταφράττειν στόματα, Πέτρου ἂν εἴη τινὸς τοῦ τὸν Σίμωνα καταβαλόντος, ἢ Παύλου τὸν Ἐλύμαντα. ἐκείνοις γὰρ ἄντικρυς ἐοίκασιν οἱ νῦν κατὰ τοῦ μακαρίου ἢ λέγοντες εἰσὶν ἢ γράφοντες. ἀλλὰ καὶ οἱ λέγοντες (ὁποῖοί ποτε εἰσὶν) ὡς ὁ Μελέτιος παρόντας μόνον ἐφίλει τοὺς ἑαυτοῦ φίλους, ἀπόντας δὲ οὔ, ψεύδονται ἀτεχνῶς, τοῖς τὸ πικρὸν γλυκὺ (κατὰ τὸν προφήτην) λέγουσι, καὶ τὸ σκότος φῶς τιθεμένοις, καλὸν δὲ τὸ κακὸν ἐοικότες. ἤδη γὰρ ἐκεῖνος, ὡς σοφώτατος καὶ ἀρετῆς φθάσας ἐς τὸ ἀκρότατον, οὐ μόνον παρόντας, ἀλλὰ καὶ μακρὰν ἀπόντας τοὺς φίλους ἀγαπᾶν. φίλοι δὲ ἐκείνῳ ἐτύγχανον ὄντες, οἷς δι-

καιο-

καθάπερ γὰρ τοῖς ὀφθαλμοῖς βλέπειν τὰ πάντα διὰ τοῦ ἀέρος ἐπιτέτραπται, ἑαυτοὺς δὲ οὔ, τὸν αὐτὸν τρόπον καὶ τοῖς ἐπισφαλῆ τινα παθοῦσιν, ἢ μὴ τοιαῦτα, οὐχ οἷόν τε πάντη ἀκριβῶς συνορᾶν, εἰ μή που καὶ ἑτέροις κοινωθείη. ἀνθ' ὅτου μὴ δείσῃς, μᾶλλον δὲ μὴ ἀναδύου διορθώσασθαι τὰ ἡμέτερα, εἴ που διορθώσεως δέοιτο, ὡς καὶ ἡμεῖς τὰ σὰ εἰς δύναμιν. οἶμαι δ' ἀρκέσειν ταυτὶ, καὶ τοῖς οἷς σεσιγηκέναι με φατὲ, μὴ γράψαντα ὑμῖν χρόνου τοσούτου παριππεύσαντος.

Ὁ αὐτὸς Ἀρσενίῳ καὶ Ἀνθίμῳ τοῖς ἱερομονάχοις.

Ἔναγχος τοῖς ὑμετέροις φιλικοῖς ἐντυχόντες γράμμασιν, ὑπερήσθημεν ὑγιαίνοντας ὑμᾶς ἐπεγνωκότες. οὐχ ἧττον δ' αὖ ἠνιάθημεν τὰ ἐν οἷς ἐστὸν καταμαθόντες σκάνδαλα, τῶν τοῖς αὐτόχθοσι Κυπρίοις τανῦν ἐκεῖσε πάσχουσιν ἤδη ὑπὸ τῶν σφῶν αὐτῶν ἐπισκόπων, ἰατρείας ἧσπερ νοσοῦσι μεταδοῦναι βουληθῆναι. ταὐτὸν γὰρ ὡς ἀληθῶς πεπόνθατον, ὡς εἴ τις ἰατρῶν βουληθεὶς θεραπείαν τινὰ κειμένοις ἐπινοῆσαι, ἑαυτὸν ἐκείνοις συγκατενέγκοι, καὶ μείζω, οὐκ ἐλάττω τὴν ἀρρωστίαν ἐργάσαιτο, ἰατρείας χρῄζων, οὐκ ἰατρὸς εἶναι ἐλεγχθείς. ἐπεγένετο δ' ὑμῖν τοῦθ' οὕτω, τὸ μὴ εἴκειν, ἀλλ' ἀντιπαρατάττειν βούλεσθαι, τοῖς οἷς ἔδει εἰρήνης μᾶλλον καὶ ἀνομίας, ἢ παρανομιῶν καὶ στάσεων τὴν καὶ ἑαυτοῖς καὶ τῷ λαῷ τοῦ θεοῦ προξενοῦσαν ἀπώλειαν ἀντιποιεῖσθαι. Τῷ καὶ ὃ πρὸς Ἡσαΐα ποτὲ τὸ τῶν Ἰουδαίων ἄκαμπτον καὶ ἀντίτυπον ὀνειδίζοντι εἴρηται, καὶ ἐπ' αὐτῆς πληρωθὲν τέως φαίη ἄν τις μάλα γ' ἐν δίκῃ, Ὅτι οὐκ ἔστιν ἐν αὐτοῖς ὁ λοχλκρία, καὶ τὰ τούτοις ἑπόμενα. πλὴν ἀλλ' εἴθ' οὕτως, εἴτ' ἄλλως πως ταυτί γ' ἔχοντά ἐστιν, οὐχ ἡμέτερον διερευνᾶν τε καὶ ἐλέγχειν, τὰ ἡμῖν ἀνήκοντα σκοπεῖν μόνον ἐθελόντων. Περὶ δὲ ὧν ἡμᾶς ἐπηρωτήσατε ἐπεσταλκότες, ἀκούοιτ' ἂν ἡδέως πάλαι ποθοῦντες. Ἴστε

τρίγων

χρὴ νομίζειν ἡμῖν μεταδοῦναι, οἷς παρὰ θεὸν οὐδεμίαν ὁτινδηποτοῦν ἄλλη τις ὑπῆρχεν, οὔτε μὴν ἐλπίζεται παραμυθία; καὶ οἵτινες ἐγγυνήθημέν τε ἐκείνῳ καὶ ἀνετράφημεν, πρὸς δὲ καὶ ἐς μεῖζον προεφθάκαμεν ἡλικίας. ἐν ᾗ τό γε νῦν εἶναι ἐσμέν, οὐ μὴν μέχρι τέλους ἀτυχῶς ἐκείνου στερηθέντες, ὅτε τοῖς σπείρασιν (ὡς ἂν εἴποι ὁ Προφήτης) ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει ἔδει τοῦ θερισμοῦ ἀπάρξασθαι; πλὴν ἀλλ' οὕτω θεῷ δοκοῦν εὔκλεον, καὶ τὸ ἡμῶν πέρι τελευτῆς οὐχ ἧττον φροντιστέον, ὅσον οὐδέπω ἐλευσομένης, οὐδ' ἂν εἴ τι γένοιτο. ἐκεῖνον δ' εὐδαίμονα ἡγητέον καὶ μακάριον οὕτω τὴν τῇδε ἀπαίροντι, ἐφόδια ἱκανὰ τῇ ἐκεῖσε ζωῇ ἁρμόδια, ἔτι ἐνταυθοῖ γε ὄντι προητοιμάσθη τε ἀξίως καὶ προσείργασται. καὶ ᾧ τὸ ἔλαιον δαψιλὲς ἐντεῦθεν ἤδη ἀποδημοῦντι ἀποτεθησαύρισται τῷ αὐτοῦ ἀγγείῳ, ὡς ἄν μοι ἐπιλείψαιτο, ὅτε κλίσασθαι, ἢ ἀργύριον καταβαλέσθαι τῶν ἀμηχάνων. τοιοῦτος ἦν ὁ μακάριος τῷ ὄντι ἐκεῖνος (δεῖ γὰρ ἀψευδεῖν) ὃς οὐ μόνον ἑαυτῷ τουτί γε τοὔλαιον προητοίμασεν, ἀλλὰ δὴ καὶ πολλοῖς ἄλλοις γέγονεν αἴτιος τοῦτο ἀντιποιήσασθαι, ἀξίους δείξας πλείους, ἢ ὥστε ἀριθμῷ ῥᾷον περιλαβεῖν, ἐξ ἀναξίων. καὶ διὰ τοῦτο ὡς στόμα (ἢ φησὶ τὸ ἀψευδὲς τοῦ θεοῦ στόμα) χρηματίσας θεοῦ. Ὧι γε δὴ τῷ θεῷ τέως παριστάμενον, καὶ ὑπὲρ ἁπάντων οἷς εὐσεβείας τε καὶ ὀρθοδοξίας μέλλει πρεσβεύοντι, καλῶς καὶ σοί γε κατεσπάνη ἱκέσιον κανόνα ποιῆσαι, ἵνα ἵλεων δι' αὐτοῦ τὸν θεὸν σαυτὸν ἀπεργάσαι. οὗ δῆτα καὶ ἡμῖν κοινωνήσαιτε, ὡς δῆθεν διορθῶσαι αὐτόν, τὰ σὰ πάλιν σοί γ' ἐπιστέλλομεν, τὰ ἡμῖν ἤδη πονηθέντα τούτοις συζεύξαντες. ἃ καὶ αὐτὰ τῆς αὐτῆς γε παρά σου τυχόντα διορθώσεως, ἐπανήξοι ἂν εὐτυχῆ παρ' ἡμᾶς. ὡς γὰρ ἡμῖν καλῶς ἔχειν δοκεῖ τὰ ὑμέτερα παρ' ἡμῶν εὐγνωμόνως διορθοῦσθαι, οὕτω δεῖν οἰόμεθα* οὐδὲν μᾶλλον καλῶς ἔχειν παρ' ὑμῶν τὰ ἡμέτερα.

βολὴν γάρ σοι εὖ ἴσθι προὐπόθετε ἥδιον. τοῦτο μὲν, ἀξίῳ (ὡς ἐμαυτὸν πείθω) τόγε εἰς ἀνθρωπίνην ἀξίαν ἥκον ὄντι. τοῦτο δὲ, πρὸς ἀξίου ὡς ἀληθῶς ταύτην δεξαμένου. ἣν σε τὸν κύριον παρακαλῶ φυλάττειν ἄτρωτον ἐνισχύειν, καὶ ἀποδοῦναι αὐτῷ σῶον τὸ δῶρον μετά τινος κέρδους τῇ σῇ δυνάμει ἀναλογοῦντος. οὐ γὰρ ἀρκεῖν ἡγητέον τῷ σῶον ἀποδόντι τὸ τάλαντον πρὸς τὸ εἰσελθεῖν εἰς τὴν χαρὰν τοῦ κυρίου, εἰ μή τις καὶ ἐπικέρδεια φανείη πρὸς τοῦ λαβόντος, οὐδ' ἂν ἐν καθαρωτάτῳ σουδαρίῳ δεσμευθὲν φυλάττοιτο, καὶ ἀμείωτον τῷ δεδωκότι ἀποδοθείη. πρὸς τοῦτο δὲ τῆς ἄνωθεν ἡμῖν δεῖ βοηθείας, μὴ οἵοις τε οὖσιν αὐτῆς ἄνευ ποιεῖν οὐδέν. ἧς μεταλαχεῖν ἡμῖν δαψιλῶς, αὐτοῦ θείᾳ χάριτι. ἔρρωσο. ͵αχβ.

Ὁ αὐτὸς Γεωργίῳ ἱερεῖ τῷ οἰκονόμῳ Ῥόδου:

Τὸ χαίρειν τοῖς χαίρουσι, καὶ τοῖς κλαίουσι κλαίειν, ἀποστολικὴ οὖσα ἐντολή, πρέπειν ἡγούμεθα τοῖς τῶν ἀποστόλων θιασώταις φυλάττεσθαι. ἄλλως δέ γε δρᾶν, οὐδ' αὐτὴ ἡ φύσις μὴ ὅτιγε ἡ ἐντολὴ ἐπιτρέπει. εἰ γὰρ τῷ ἀλόγῳ τὸ ζῶον (ὁποῖον ποτ' ἂν εἴη) χαίροντι καὶ λυπουμένῳ (μέτεστι γὰρ καὶ τοῖς ἀλόγοις τούτων) συγχαίρει τε καὶ συλλυπεῖται, σχολῇ γε ἂν πατρὶ παισὶ λυπουμένοις ἢ χαίρουσι προσῆκεν ἑκάτερα στέργειν. οὐ πᾶσι μέντοι δῆλα ταυτὶ, εἰ μὴ τοῖς τῆς σοφίας ἐρασταῖς. ἧς καὶ ὑμεῖς αὐτοὶ ἀπλῶς τε ἅμα καὶ ἀόκνως ἀντιποιούμενοι, οὐδὲν ἧττον ἡμῖν ὑμεῖς, ἢ ἡμεῖς ὑμῖν ἐν πατέρων μοίρᾳ τυγχάνουσι τῆς ἀθυμίας τε καὶ χαρᾶς κοινωνεῖτε. Αἴτια δὲ τῆς ἡμετέρας ἀθυμίας πολλὰ μὲν καὶ ἄλλα πολλάκις ἧττω τε καὶ μείζω ὑπῆρξε τε καὶ ὑπάρχει, ἡ δὲ τοῦ τρισμακάριος ἐκείνου πατρὸς ἡμῶν κυρίου Μελετίου ἀοίδιμος μετάστασις, πάντα πάντη πολλῷ τῷ προὔχοντι ὑπερηκόντισέ τε καὶ ὑπερακοντίζει. εἰ γὰρ πᾶσι πάντως λύπης οὐ τῆς τυχούσης μετέδωκέ τε καὶ μεταδίδωσι, πόσον τι

κάμπτοντι, ἐπεὶ τῶν βιβλίων ἔναγχος τετύπωται ἐλλιπῶς(?) φύσεις πάντως, λαβὼν πρὸς αὐτοῦ ὅσα καταθήσειας ὑπὲρ ἡμῶν. ἔῤῥωσο. αχβ. Γαμηλιῶνος. ζ.

Ὁ αὐτὸς Ναθαναήλῳ ἱερομονάχῳ.

Ὠμίλω τοῖς πολλοῖς καὶ παντοδαποῖς μου γράμμασι, τοτὲ μὲν καθαπτομένοις σου, τοτὲ δὲ νουθετοῦσι τὴν σὴν παίδευσιν. πρὸς δὲ τούτοις καὶ οὐ χρεία ἐγένετο μεσιτεύσασι τὸ (ὡς ἂν εἴποι τις) γενναῖον σου θυμὸν καταγωνίσασθαι, καὶ τὸ ἣν διετέλεις ἔχων κατὰ τοῦ μακαρίου ἐκείνου καὶ ἁγιωτάτου τῷ ὄντι ἀνδρὸς Μελετίου, ἀπάνθρωπον ἔριν καταβαλεῖν. Ἐπεὶ δέ σε ὁρῶ τοῖς γράμμασι μᾶλλον ἐπιδιδόντα, ἢ ἐνδιδόντα μικρὸν γοῦν, κρεῖττον ἔκρινα σιγὴν βαθεῖαν τὸ ἀπὸ τοῦδε ἄγειν τῷ ἀρετῆς μητέρα, θεῷ τὸ πᾶν ἀναθείς, ᾧ μέλει πάντων. καὶ γὰρ σίλλεως ἀπὸ τῶν τοιούτων καλὸν ἂν εἴη. ἔῤῥωσο. αχβ.

Ὁ αὐτὸς Ἀββακοὺμ ἱερομονάχῳ.

Οὐδὲν ἄμεινον δοκῶ μοι τυγχάνειν, σιωπῆς καιρὸν ἐνεχούσης. ἀνθ᾽ ὅτου καὶ οἱ πλείους τῶν πάλαι τῷ θεῷ εὐαρεστήσαντες σιγὴν διὰ πάσης αὐτῶν ἦγον τῆς ζωῆς, τῷ θεῷ μόνῳ ἐν σφίσιν αὐτοῖς ἐντυγχάνοντες. οἷς δὴ καὶ σὺ αὐτὸς καλῶς ποιῶν ἀποδεχόμενός τε καὶ μιμούμενος εἰς δύναμιν, τὰ αὐτὰ ἐκείνοις πράττειν αἱρεῖ μηδενὶ μηδὲν φθεγγόμενος τοπαράπαν, ἢ σαυτῷ καὶ θεῷ. οὗ δὴ ἕνεκα οὐ μόνον σε ταύτησι τῆς προαιρέσεως ἀποδέχομαί τε καὶ ἄγαμαι. ἀλλὰ κἀμὲ τοὐντεῦθεν πρέπειν δεῖν οἶμαι σιωπὴν ἀσκεῖν βαθυτάτην, τὸ ἐκ τῆς πολυλογίας ἁμάρτημα ἄφυκτον εἰδότα. Τέως μέντοι μοι δέον κατεφάνη (εἴ τι ἂν καὶ γένοιτο) τὴν γραφίδα κινῆσαι, ὡς ἂν ἔγγραφον καταμάθοις ἦν ἐπὶ σοὶ ἔχον χαρὰν, τὸ οὐράνιον τῷ ὄντι καὶ ἀγγέλοις αἰδέσιμον χρῆμα (τὴν ἱερωσύνην φημὶ) ἀναλαβόντι μαθών. ἐς ὑπερ-

Ἐπιστολαὶ Μαξίμου ἱερομονάχου τοῦ ἐκ τῆς Πελοποννήσου.

Μάξιμος Ματθαίῳ ἱερομονάχῳ.

Ἐλπὶς ἡμῖν οὐ πάνυ σμικρὰ μετὰ τὴν ἐγκυρίῳ ἀποβίωσιν τοῦ μακαρίτου πατρὸς ἡμῶν Μελετίου θυμηδίας τι καὶ τέρψεως ὑπολέλειπτο, τὸ πόῤῥωθεν γοῦν πυνθάνεσθαι τὸν μακαρίτην Μάξιμον τὸν Μαργούνιον ζῆν. ὡς δὲ καὶ ἡ τούτου μετάστασις παρὰ πόδας ἡμῖν ἤκουσται, ποικίλως πως διεθέμεθα. ποτέρα τῇ λύπῃ ἡμᾶς αὐτοὺς οἱονεὶ ὑποβρυχίους γενέσθαι ἐᾶσαι, ἢ θεῷ μόνῳ τὰς ἐλπίδας ἀναπτέον, ᾧ οὐχ ἧττον ἡμῶν, εἰ ἡμῖν βουλητὸν μέλλει, καὶ ᾧ τοῦ Ἡλιοῦ ὀδυρομένου ὡς δῆθεν μονωτάτου καταληφθέντος, καὶ τὴν ψυχὴν αὐτοῦ ἀπαιτουμένου, εἴρηται καταλιπεῖν ἑαυτῷ ἑπτακοσίους ἄνδρας μὴ κάμψαντας γόνυ τῇ Βάαλ τοὺς καὶ τῷ προφήτῃ ἀγνοουμένους. Τούτοις δὴ τοὺς λογισμοὺς ἡμῖν αὐτοῖς ἀνελίττουσι ποτέρου τούτων πειστέον; κρεῖττον ἔδοξε δεῖν τῷ δευτέρῳ πεισθέντας ἡσυχίαν ἄγειν, ἅτε θεῷ μᾶλλον ἀρέσκοντι καὶ εὐσεβείας ἐχομένῳ. ἐκείνως γὰρ ποιοῦντας, θεῷ μαχομένους ἄντικρυς οὐδὲν διοίσειν οἰηθείη τὶς ἄν, ᾧ εὐσεβείας ὅλως μέλλει. προνοεῖται γὰρ τῶν καθ' ἡμᾶς τὸ θεῖον, ὡς οὐκ εἴδαμεν ἡμεῖς. εἰ γὰρ τῶν προφητῶν οἱ πλεῖστοι (ὧν καὶ Ἡλίας) οἵῳ τρόπῳ τῶν τῇδε κήδεται ἠγνόουν, πολλῷ γ' ἡμεῖς. Ἀλλὰ τούτων πέρι μηκύνειν τὴν ἐπιστολὴν, πολλὰ τὰ τὴν ὁρμὴν ἀνακόπτοντα, καὶ ἄλλοις ταμιεύειν ἀπάγοντα. σοῦ δὲ τὴν εὐλάβειαν παρακαλοῦμεν τὸν κύριον διαφυλάττειν ὑγιᾶ, τῷ γένει ἡμῶν δυστυχῶς ἔχοντι τέως χρησιμεύσουσαν. Τὸν διακομιστὴν τουτονὶ τῶν γραμμάτων αὐτόσε παραγεγονότα, δι' εὐφήμου γλώττης ἄγειν σου τὴν σύνεσιν πανταχοῦ παρασκεύασον, τῷ φιλοφρόνως αὖθις αὐτῷ προσίεσθαι. ᾧ καὶ ἐπανα-

κάμ-

πλὴν ἱκανὰ καὶ ταῦτα ὅλον τὸν δημιουργὸν παραστῆσαι. ὅπου καὶ οἱ μέλλοντες τῷ Σωκράτῃ φοιτᾶν, ἐκ μόνης τῷ διδασκάλῳ ἐγνωρίζοντο τῆς περιλαλιᾶς, ὅπως ἔχοιεν ἕξεως πρὸς τὴν θεωρίαν τῶν ὄντων. Ἀλλὰ καὶ ὁ Λέων ἐκεῖνος τοῦ Φειδίου τὸ δημιούργημα, ἐξ αὐτῆς ἀπείκασο μόνης τοῦ ἑνὸς τῶν ὀνύχων ἐπιβολῆς. οὕτως ἐκ τῆς βραχείας ἐπιστολῆς, οὐδ᾽ αὐτοὺς τοὺς μετιόντας διέλαθες. καίτοι τὸ λάθε βιώσας φιλοσοφῶν. ἀλλ᾽ οὖν καὶ τὴν περὶ σαυτοῦ φήμην ἀπέδειξας, ἣν ψιλοῖς λόγοις κενεμβατοῦσαν, καὶ οἵαν ὁρῶμεν τοὺς πολλοὺς ἔχοντας. ἀλλ᾽ ἔγνωμεν διὰ τῆς φωνῆς, τῆς σῆς παιδείας τὸ περιττόν, καὶ τὴν ἄλλην σου καλοκἀγαθίαν, ἣν ἡ φύσις τε ἅμα καὶ σεμνότης περικοσμοῦσα, οὐδὲ ἡμῶν ἠμέλησε τῶν σμικρῶν, ἀλλὰ καὶ γραμμάτων μετέδωκε, καὶ προσδέχεται παραπλήσια, ὡς ὑποκρειττόνων, τῶν ἐλαττόνων. Ἐμοὶ δὲ τὰ τῆς φήμης οἷά ποτε τυγχάνοιεν ὄντα, καὶ ὅπως συνῳδὰ διατελοῖεν τοῖς πράγμασιν, αὐτὸς μὲν εἰδήσεις, κἂν ἡμεῖς μὴ γράφωμεν. μᾶλλον δέ, ἀφ᾽ ὧν γράφομεν εἴσῃ. καὶ οἶδα ὅτι μέμψῃ τοὺς ἄραντας αὐτὴν ἐπὶ μέγα, καὶ πρὸ τούτων, τοὺς ὡς θεὸν αὐτὴν ἀνυμνήσαντας. εἴπερ Ἀθήνησι μὲν ἐκθειάζοιτο, παρ᾽ ἡμῖν δὲ ψευδηγορία ἀλίσκοιτο. ἀλλ᾽ οὖν μοι πρόσου καὶ μεγαρόθεν τὰ γράμματα, εἰ καὶ ἄνθρακες τὸ λεγόμενον, ἀνθ᾽ ὅσων ἤλπισας θησαυρῶν. πλὴν μετὰ τῆς ἴσης εὐνοίας, μεθ᾽ ἧς αὐτὸς ἔφθης τὰ παρὰ σαυτοῦ δωρησάμενος. πάντως γὰρ καὶ τοῦτο, εὐεργεσίας θήσομεν μέρη. καὶ οὐκ ἐλάττω χάριν ἐρέξομεν ἀνάγραπτον ἐναποκεισομένην. ἧς οὖν ἐς τόδε αὐτοὶ λαβόντες, ἀπέχομεν. Ὅτι δὲ καὶ δευτέρων γραμμάτων ἐρῶμεν, καὶ μαθεῖν ἐν οἷς ὄντες διατελοῖντο τοῦ λοιποῦ, περιττὸν γράφειν. ἀλλ᾽ οἶμαι θᾶττον σου καθ᾽ ἣν γράφεις μόνην ἀπολαύσαντες κατὰ πρόσωπον, τῆς ἀπὸ τῶν γραμμάτων ῥᾳστώνης ἧττον δεηθησόμεθα. ἔρρωσο, καὶ ἡμῶν μὴ φείσαι μεμνημένος τε καὶ κηδόμενος. Θαργηλιῶνος ὀγδόη φθίνοντος. αχξ.

ἐπῆρες εἰς τὸ δὲ δι' ὧν ἀπέσταλκας, ἐς ἐλπίδα ἅμα καὶ ἰδίους ποιήσας. ὅρα δὴ ὅπως ἂν διαθείης ἐπειδὰν ἐμπεδώσῃς τὰς ἐλπίδας τοῖς πράγμασι, καὶ ἀναπληρώσῃς τὰ ἐμὰ ὑστερήματα, ὥς φησιν ἡ θεία φωνή. τέως γοῦν ἡμᾶς ψυχαγώγει τοῖς γράμμασι, καὶ μὴ φείδου συνείρων τὰς ἀεὶ σαυτοῦ ἀγγελίας, καὶ τὰ τῶν ἄλλων ὁμιλητῶν. πάντων γὰρ ἐπίσης ἐξέρχομαι, καί σοι συνομιλῶν, καὶ πρὸς αὐτοὺς ἀποτείνομαι. ἱερόν τινα λόχον τῆς κλεινῆς περιβεβλημένης Ἑλλάδος, τὴν αὐτῶν ἐπίδοσιν λογιζόμενος. πάντας οὖν διά σου καὶ κοινῇ καὶ καθ' ἕνα ἀσπάζομαι. καὶ πάντων ἐπεύχομαι τὰς ἐνθάδας εὐχὰς, μᾶλλον δὲ τὰς ἐπέκεινα τῶν ἐνθάδων. τούτων γὰρ αἰσθάνομαι εἴπερ ποτὲ καὶ νῦν δεομένου. προσίτω δ' ἔπη καὶ ἰδίᾳ τὴν τιμίαν καὶ φιλτάτην μοι κεφαλὴν, Μιχαῆλον τὸν Βυζάντιον. τούτῳ γὰρ δὴ καὶ πολλαχόθεν ἄλλοθεν ὀφειλομένην οἶδα τὴν παρ' ἐμαυτοῦ πρόσρησιν. ἀλλὰ καὶ ἐν τοῖς πρώτοις τετάχθω ὅ, τε Καρκόφιλος, καὶ ὁ Δημισιανὸς, ἡ σοφὴ καὶ φίλη μοι ξυνωρίς. Τὰ δὲ τῆς συστάσεως ἣν αὐτὸς ἀπήτησας παρ' ἡμῶν, ἤδη μοι καὶ διήνυσται, καὶ κατ' εὐχὴν οἶμαι τὴν σήν. πλὴν τοῦτό γε εἰδέναι βούλομαι Βησσαρίωνα τὸν ἐμὸν, ὡς ἐγὼ τοῖς ἀνδράσι νομίζω ἐπὶ τὴν σύστασιν προσελήλυθα:

Τῷ ὁσιωτάτῳ καὶ σοφωτάτῳ ἱεροδιακόνῳ κυρίῳ Συμεῶνι, Φραγγίσκος ὁ Κόκκος ὁ μικρὸς ἐν διδασκάλοις εὖ πράττειν.

Ἰδοὺ τὰ γράμματα ἀπηγόρευται, ἀλλ' οὐ πρὸς Μεγαρέως ἀνδρῶν ἀρίστων, ἀλλὰ πρὸς Μεγαρέων. κἂν αὐτός σὺ πιωανθίον φιλοσοφῇς, καὶ πρὸς ἡμᾶς ἐπιστέλλεις τῷ προσιόντι τῆς μετριότητος. Μεγαρεῖς γὰρ οὔτε τρίτοι, οὔτε τέταρτοι, φησὶν ἡ παροιμία. σὺ δὲ πάλαι μὲν ἡ φήμη ἐπὶ σοφίᾳ κηρύττει, πρὸ πολλοῦ τε, καὶ πρὸς πολλούς. πλεῖον δὲ νῦν τῆς φήμης ἡ πεῖρα, εἰ καὶ μέχρι γοῦν λακωνικῶν γραμμάτων προυχώρησε.

πλὴν

Φραγγίσκος ὁ Κόκκος, τῷ τιμιωτάτῳ καὶ λογιωτάτῳ κυρίῳ Ἰωάννῃ Ματθαίῳ τῷ Βουστρονίῳ, χαίρειν.

Διττὴν ἐκομισάμην ἐπιστολὴν παρὰ σοῦ περιστιλεστάτην· τὴν μὲν, ἑλληνιστὶ φθεγγομένην· τὴν δὲ, ἡρμοσμένην ἰταλιστί. καὶ ἐπέγνωκά σοι τὸ πεφυκὸς τῶν ἠθῶν τῆς πρὶν εἰλικρινείας παραλλάξαν μηδέν. πρὸς δὲ καὶ τὸ φίλτρον τὸ πρὸς ἡμᾶς, χωρὶς ὂν ἁπάσης διπλόης τε καὶ σκηνῆς. οὐ μόνον ἂν εἴποιμι τοῦ πάθους τὸ πολλαπλάσιον, ἀφ' οὗπερ ἔφθην ἑαλωκὼς, ὅτε μετηρχόμην τὰ γράμματα. ἐκεῖνο δ' οὖν τῆς θυμηδίας ἦν τὸ κεφάλαιον, ὅτι τὸν χρυσοῦν κολοφῶνα, ὃν αὐτὸς ἐπέθηκας τοῖς μαθήμασι, φύσει γονίμῳ χρησάμενος καὶ περιουσίᾳ σπουδῆς, ὑπὸ τῆς ἄγαν ἀγνωμοσύνης, τοῦτον ἀνεπίθης ἡμῖν, διόπερ εὔνοιαν καὶ προθυμίαν ὡς ὁ Ῥήτωρ φησί. παρὰ δὲ ταῦτα, οὐδέν τι συνεισηνέγκαμεν, πλὴν ἀλλὰ καὶ ταυτηνὶ τὴν φιλοτιμίαν ἠσμενισάμεθα μετὰ τῶν ἄλλων σοῦ πλεονεκτημάτων, ὧν παραλαβὼν ὑπέγραψας τὰ γνωρίσματα. οὐδεμίαν οὐδὲ τοῦτο κέντρον ἦν ἔλαττον ἡδονῆς, ὅτι σοὶ γραμμάτων ἀρξαμένῳ τῶν πρὸς ἡμᾶς, καὶ ὧν ἀπήρξω καλῶς ποιῶν τῷ κοινῷ καλλωπίσματι τοῦ γένους τοῦ ἡμετέρου. τούτοις οὐκ ἀπεικὸς ἔδοξε καὶ ἡμᾶς ἐπιάσαι τῷ μακρῷ πόθῳ τούτων κάμνοντας τῶν καλῶν. Ἔγωγε μὲν οὖν ὅπερ ἔπαθον πρὸς τὴν λογίαν ταυτηνὶ τράπεζαν τῶν ἀγαθῶν θέσεων καὶ τῶν ὕμνων, ὡς κοινόν τι πάθος παρίημι. Τί δὲ πρὸς τὸν ἔφορον ὃν ἐπιγεγραμμένα ἐφιλοτιμοῦντο τὰ παραθέμενα; ἔπαθόν τι πρὸς τὴν εἰκόνα, καὶ οἷα ἔνθους γενόμενος, περιεχύθην καὶ πολλάκις κατεφίλησα. ἰδοὺ λέγων ἐκεῖνο τὸ ἔμπνουν ἀρχέτυπον, ὅπερ Βουστρώνιος ἐκμαξάμενος ὁ καλὸς, καὶ τὴν νωθροτέραν ἀποσκευάσας τὴν νάρκην, Ἡράκλειά τις σίδηρος γενόμενος. Πρὸς ταῦτα μὲν οὖν ὦ γενναῖε ἡμᾶς

περιφερόμενος ἀγαθῶν, οὐδαμόθεν ὤφθης τῷ ῥάμματι τοῦ τύφου παρασυρεὶς, ἀλλ' ὑπὸ τῆς ἄγαν σου μετριότητος καὶ σαυτὸν γράφεις ἐρυθριᾶν, ἐφ' οἷς σε παρ' ἀξίαν (ὡς αὐτὸς φάσκεις) ἐπαίρομέν τε καὶ ἐκθειάζομεν. καί τοι μηδ' ἐγγὺς ἡμεῖς ἤλθομεν τῆς ἀξίας, μηδ' οὕτως ἀγνώμονες τῆς σῆς γεγόναμεν ἀρετῆς, ὥστε δι' ἐπιστολῆς φιλοτιμηθῆναι ἐφικέσθαι τοῦ πρέποντος. Ἀλλ' ὁ μὲν παρ' ἐμοῦ σοι πλεκόμενος στέφανος, ὁπωσδηποτοῦν ἔχει, κοινὸς ἔμοιγε πρὸς πάντας ἐστὶν, οἷς σαυτὸν ἐμπαρέχοντι τὴν ἀρετὴν ἀνώτερον τῶν πολλῶν, ἀνάγκη πᾶσα καὶ τὰ τῶν ἐπαίνων παρέπεται. ἐμοὶ δ' ἄρα ὁ παρὰ σοῦ ἔπαινος πῶς δοκεῖς ὑπῆρξαι διαφερόντως καὶ ἡδὺς καὶ ὀνήσιμος. οὐ γὰρ δὴ μόνον τὴν σὴν διάθεσιν καλεμήνυεν εὔνοια δεδικασμένην περὶ τὴν ψῆφον τὴν καθ' ἡμῶν. ἀλλὰ καὶ τὸν ἐν ἡμῖν ἔρωτα τῆς σπουδῆς ἀνεζωπύρισεν οὐ μετρίως, καὶ οἷον ἐκ σπινθῆρος πυρσὸν ἀπέφηνεν, ἀθυμουμένων ἡμῶν πολὺ κατόπιν ἥκειν τῆς χρηστῆς ταύτης σου ὑπολήψεως. Ἀλλ' ὅπως σπουδάζων ὀνίνημι τὸ γένος ἡμῶν, τί ἂν πρὸς σε γράφων ἐκτραγῳδοίην; μόνην θρύπτομαι τὴν καρδίαν, ἐπεὶ τὴν καταχοῦσαν ἡμᾶς σκοτόμαιναν, λῦσαι μὲν διατείνομαι, ἀνύσαι δὲ οὐκ ἰσχύω. ἤδη πάτερ θεσπέσιε καὶ αὐτὸς ὃς μόνος ὑπόλοιπος ἦν τῆς παιδείας ὁ πόθος, μετὰ τῶν ἄλλων ἐξέπνευσε. καὶ πᾶσι μᾶλλον χαίρουσιν Ἕλληνες, ἢ τῇ ἑλληνικῇ ἀφραδίᾳ καὶ ταῖς μελέταις καὶ ἐπιστήμαις, ὧν γεγόνασιν ἀρχηγέται πρὶν καὶ προπάτορες. καὶ οὐδὲ συνιέναι βούλονται, ὡς ἐντεῦθεν ἡμῖν ὁ πολὺς τῶν δεινῶν ἑσμὸς συνερρύηκεν. ὅμως ὑπομονητέον (ὡς καὶ αὐτὸς γράφεις.) πρὸς δὲ καὶ τὸ θεῖον δυσωπητέον, καὶ ποιητέον τὸ ἐφικτόν. ἵνα διὰ τῶν σῶν ἐθάδων ποδηγηθέντες ἀρχῶν, ὀψὲ γοῦν τινα λάβοιμεν αἴσθησιν τοῦ κακοῦ. καὶ μὴ ὥσπερ ἀρνία περὶ τὴν Κρίνην, (ὡς φησὶν ὁ Πλάτων) μεσημβριάζοιμεν. ἔρρωσο. Ἑκατομβαιῶνος νουμηνία ἀπὸ Βυζαντίου:

Φραγ-

ὑπὸ τοῦ πάθους κατὰ τοὺς διαπύρως διψῶντας ἐπὰν κεναῖς περιτύχωσι τῶν πηγαῖς, αἷς ὡς πληρεστάταις προσῆλθον. Ἀλλά τί μοι λοιπὸν πάτερ θεσπέσιε, ἢ γράμμασί γε πάλιν ἐπαντῆξαι πρὸς τὴν Ἡράκλειαν καὶ ἀναψῦξαι γοῦν ἐξ ἡμισείας τὸν πόθον, οὗ τὴν φλόγα τοσοῦτον ἐν ἐμαυτῷ τέθρεφα; προσήρησον οὖν μοι διὰ τῆς ἐπιστολῆς ἀξιέραστε, καὶ πάνυ καὶ πολλάκις προσήρησον. καὶ χαῖρε παρ' ἐμοῦ ἄρτι μὲν σοῦ βεβλημένου τῷ φίλτρῳ, ἁμιλλωμένου δ' ὅμως τοῖς ἐκ παλαιοῦ σε φιλήσασι. γένοιτο δὲ ἐς τάχος καὶ κατὰ πρόσωπον ἐμοὶ μετὰ τῆς ἐμαυτοῦ περί σε διαθέσεως. σοὶ δ' ἄρα πάτερ θειότατε τῶν σαυτοῦ μοι ἀρετῶν καὶ χαρίτων, τελεώτατα. ἔρρωσο. αφχδ. Γαμηλιῶνος ὀγδόῃ ἐπὶ δέκα:

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ἐγὼ σοῦ τοῖς γράμμασιν ἐντυχὼν τοῖς σοφωτάτοις τε καὶ καλλίστοις, τὸν ἐμὸν μετὰ ὥραν τοῦ σὲ θεάσασθαι πόθον ἔχουσι μετρίως ψυχαγωγήσειν, καὶ ἣν πάλαι ῥᾳστώνην ἐστέρημαι διαμαρτὼν σου τῆς συντυχίας, ταύτην διὰ τῆς ἐντεύξεως ταύτης ἀνασώσασθαι. ἀλλὰ γὰρ αὐτὰ μετερχόμενος, τοσοῦτον ἐδέησα τοῦ καὶ μικρὸν τὸ πάθος ἀκέσασθαι, ὥστε μου τῆς ψυχῆς τοὐφιέμενον ἐπὶ τὸ πλέον ἐπιταθῆναι. Ἆρ' οὖν εἰκόνα σαυτοῦ στερήσωμεν τὴν ἐπιστολὴν ἡρμοκέναι; ἡ μὲν γὰρ μιμουμένη ὅσον ἐφικτὸν τὸ ἐρρώμενον, ἀμηγέπως ἐπικουφίζει τοῖς ἐρασταῖς τὴν ἐκ τῆς ἀπουσίας δυσχέρειαν. ἡ δ' οἵων ἄρ' ἀπετύχομεν τὴν μνήμην ἀναρριπίσασα, βαρύτερον τὸ πάθος ἡμῖν ἀπειργάσατο. καὶ ὅτι μὴ καταλαβὼν τὴν Ἡράκλειαν ἔχω ἔργον παρατεῖναι τὴν ἐνδημίαν κατὰ τὴν πόλιν, ὥς' ἄν μοι γένοιτο τῶν ποθουμένων ἡ πεῖρα. νῦν ἐκ πλείονος ἄχθομαι. ἴσασιν ὅσοι τῶν ὄντων καλῶν τυγχάνουσιν ἐρασταί, ὡς οὐ λόγος εἰσὶ τὰ γραφόμενα, ἀλλ' ἀπηχήματα πάντως ψυχῆς τι παραπαθούσης τοῖς παρὰ σοῦ γράμμασι. τί γάρ τοι τῶν γεγραμμένων εὖ σε τοιοῦτον ἐδίδου ἐπιγνῶναι διὰ πείρας, οἷον διὰ τῆς φήμης ἐγνώκαμεν; Ἀλλ' οὖν ἐκεῖνο τῶν περί σε καλῶν τὸ κεφάλαιον ἦν, ὅτι τοσαύτῃ ἀφθονίᾳ

προ-

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ἐμοὶ μὲν ἐξ ὅτουπερ ἔγνωσο τῆς ἐνεγκαμένης ἀπάρας εὐθὺ τῆσδε τῆς βασιλευούσης τῶν πόλεων, ἡλίκος οἴει πόθος ἐνέστακται τοῦ καὶ τὴν ὅμορον αὐτῇ πόλιν τὴν Ἡράκλειαν ὄψεσθαι; εἷλκε δὲ παρ' αὐτήν, οὐχ ἡ νεκρὰ λίθος Ἡράκλεια, εἰ καὶ ἐνεργεστέραν εἶναι φασὶν αὐτὴν τῆς Μαγνήτιδος, καὶ ταύτην φέρειν τάχα περιθρυλλοῦσι τὴν πόλιν. ἀλλ' ἥ γε ζῶσα λίθος καὶ ἔμπνους ἡ ἀρετή, ἧς τὸ κράτος οὐκ ἀβασάνιστον, καὶ αὐτὸς ἐπιδεῖξαι αὐτόθι, καὶ τὸν σφόδρ' ἂν αἱρήσαις ἀμείλικτον, καὶ τοῦ σιδηροῦ φασὶ γένους καὶ τοῦ χαλκοῦ πρὸς τὸ χρυσοῦν μεταστῆσαι. καὶ τί γὰρ οὐκ ἐπέρασεν τῶν ὅσα δὴ λέγεται αὐτήν σοι προσάψαι τὴν ἀρετήν, οἷ φιλοτιμησαμένην τὴν δωρεάν; ἵνα γὰρ τἆλλα παρέλθω, τὴν τοῦ βίου λαμπρότητα, τὸ τῶν λόγων θελκτήριον, τῶν νοημάτων τὸ χάριεν, τοῦ ἤθους τὸ προσηνές, τοῦ τρόπου τὸ ἄδολον, τἆλλα, ὧν πλήρης μὲν πᾶσα καθέστηκεν ἀκοή, οὐδεμία δὲ ἐς τόδε χρόνου εὗρεν οὐδένα. τίς οὐκ ἂν ἀγάσαιτο τοῦ φιλέου τὸ περιττόν; ὃ περὶ τὴν παιδείαν καὶ τοὺς ὁπωσοῦν αὐτῆς ἐπιβόλους οὕτως ἐπιδεικνύεις ἀεὶ ἀκμάζον καὶ ἐπανθοῦν, ὥστε καὶ τὸν ἅπαξ σοι ἐντυχόντα (ἂν ἄρα μὴ ἀνέραστος ᾖ παντάπασι τῶν καλῶν) πρὸς τὸν αὐτόν σοι πόθον συνεξορμᾶν τὰ σὰ θηρώμενον παιδικά, καὶ τοῦτο πείθειν ἑαυτόν, ἀναπείθειν δὲ καὶ τοὺς ἄλλους (ὅτι οὐ πεπνῦσθαι σκιᾶς δ' ἀΐσσειν εἶπεν ἂν Ὅμηρος) ὡς ἔστι τι καὶ παιδείας ὄφελος, καὶ μὴ πάντα φέρει ὁ τύχης ἔμμετος πλοῦτος. ἀλλὰ καὶ ἄκων θητεύει τῷ ἀσύλῳ τῆς ἀρετῆς, καθάπερ ἵππος τῷ ἀναβάτῃ, ἂν μή γε μέλλει εἰς κρημνοὺς καὶ βάραθρα ἐμπεσεῖν. Ταῦτ' ἐγὼ τῆς Ἡρακλείας ἥρων τῆς σῆς, καὶ τὸν ἔρωτα τὰ μὲν ἤδη κατεῖχον ἐν ἐμαυτῷ, τὰ δ' ὡμολόγησα. ἀλλὰ τῆς μὲν χώρας ἰδοὺ δὴ γέγονα θεατής. γέγονα δέ, ὅτε πρώην αὐτοῦ καθωρμήσαντο αἱ βασιλέως τριήρεις. σοῦ δὲ τῆς ἐρωμένης μου θέας ἀποτυχών, μή τοι τι παρούσης ἐκεῖσε, οὐδὲν ἧττον ἀπῆλθον πάλιν ἐρῶν. μᾶλλον δὲ καὶ σφοδρότερον ἑαλώκειν

ὑπὸ

Ὁ αὐτὸς τῷ αὐτῷ.

Εἰ τοσοῦτον ἡμᾶς ἐξήρτησεν ὁ παρ' ἡμῖν σου κατάπλους καὶ ἀμυδραῖς ἐλπίσι σκιαγραφούμενος, σκόπει δ' ὦ θαυμάσιε τί ἂν αὐτοῖς δράσοι τοῖς πράγμασι περατούμενος. πλὴν ἀλλὰ χάρις τῷ δεῖνι καὶ παρ' ἡμῖν ἀνάγραπτος κείσθω, ἔναγχος διαπλεύσαντι δι' ὑμῶν ἐκ τῆς Νήσου τῶν Ἀξέων. οὐ τοσοῦτον ὅτι γράμματα διεκόμισε παρὰ τῶν προσηκόντων κατὰ γένος, ὅ ἐφ' οἷς ὧν ἠράμην τὰ μάλιστα περὶ σοῦ ἐποιήσατο κατηκόους, καὶ τὰ περὶ τῆς σῆς ὑγείας ἐδήλωσε, καὶ τὰ τῆς εἰς ἐμέ σου σχέσεως καὶ σπουδῆς. καὶ τὸ δὴ κεφάλαιον τῶν μακρῶν ἡμῶν πόθων τὴν σὴν ἄφιξιν ἀπηγγείλατο ὅσον οὔπω γενησομένην. νικήσειεν οὖν ὁ παρ' αὐτῷ τρίπους, καὶ ἥκοις πρὸς ἡμᾶς μηδὲν ἐπὶ πλέω παρατείνας τὴν ἐκδημίαν. πάντες γὰρ κεχήναμεν ταῖς ὁλκάσι, καί σε ταῖς προλαβούσαις μὴ ἐνιδόντες, ταῖς ἐπιούσαις ἐλπίζομεν. καὶ ἐξ ἄλλων ἄλλαις παραπεμπόμενοι ψυχαγωγούμεθα ταῖς ἐλπίσιν, ὁπόσοι περὶ σὲ ἐρωτικῶς διακείμεθα. διακείμεθα δ' ὅσοι τὴν ὀφειλὴν ἀποτείνομεν ταῖς μυρίαις οὔσαις τῶν ἀρετῶν. αἵ σου τὴν κεφαλὴν ἀναδήσασαι, μετὰ μεγάλης φιλοτιμίας μακαριστὸν ἅπασι ποιοῦσι καὶ ζηλωτόν. Ἀλλ' ὅρα λοιπὸν μὴ πάλιν πρύμναν κρουσάμενος καὶ ἀναδὺς, τὸ τοῦ λόγου, λάθῃς τοὺς φιλτάτους ἀποδείξῃς χανόντας. ἐφ' οἷς πολλοὶ μὲν ἀνιάσονται. πάντων δὲ μάλιστα ὁ Φραγγίσκος ὁ σός. εἰ δὲ ὥσπερ ὀνείρων ἐξαρτώμεθα τῶν ἐλπίδων (ὃ δὴ καὶ λέγεται) τέως γοῦν ἅψαιο διὰ γραμμάτων τοῦ πλοῦ. ἀρκέσει γὰρ ἡμῖν καὶ μικρόν τι γραμμάτιον Διονυσίου τοῦ θαυμαστοῦ ἡδονὴν μνηστεῦσαι μεγάλην, καὶ ὅσην οὐκ ἂν ἄλλων ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίοισι. μνηστεύσει δὲ πῶς; ἂν δὲ καὶ μόνον ἀναφανὲν τὴν σὴν ἐς τάχος ἄφιξιν προαγγείλῃ, καθάπερ οὖν τὸ ἔαρ ἡ ἀηδὼν μουσουργήσασα. ἔρρωσο. Θαργηλιῶνος ἑβδόμῃ φθίνοντος. αφχε.

Ὁ

προσβαλὼν ἐμοὶ ὦ θαυμάσιε, καὶ πάλαι μὲν πρὸς σεαυτὸν εἷλες διὰ τῆς φήμης, ὥσπερ Σειρῆνός τινος ἢ ἴυγγος. ἤδη δὲ καὶ διὰ πείρας ἐλθὼν ἐξήρτησας ὥσπερ καὶ ἄλλον κεστὸν ἔρωτος σεμνοτέρου τὴν περιβολὴν τῶν σῶν καλῶν ἐπαφέμενος, κατὰ μικρὸν τήκομαι μεμνημένος, οἵων ἄρα τρυφήσας, μᾶλλον δὲ χείλεσι φασὶν ἄκροις ἀπογευσάμενος, πάντων ἐστερήθην ἀθρόον. οὕτω μηδέν τι φάρμακον κἂν αὐτόχρημα ᾖ τὸ ληθαῖον ἐκεῖνο, ᾧ κομψεύεται Πλάτων, τὰς ψυχὰς φαρμακευομένας ἐπιλανθάνεσθαι, ἐνστάξειν ἄν μοι λήθην τοῦ περὶ σὲ θαύματος. Τί μοι οὖν ἄρα τὸ τὴν ἀναβολὴν ἐμποιῆσαν τοῦ γράμματος, αὐτὸς σὺ πάτερ φιλοστοργότατε. οὐ τοσαύταις ἀκούοντες ἐγκαλινδούμενον ἀσχολίαις, καὶ μικροῦ γοῦν ἀνακόπτειν διελαβόμεθα, τῇ ἀπασχολήσει τῶν ἡμετέρων. τῷ τοι καὶ μέχρι καὶ τήμερον τοῦ γράφειν κατασχόντες τὴν φλόγα, νῦν ἐπὶ πλέον ἀφθεῖσαν οὐ πλέον ἀντίσχομεν πρὸς αὐτὴν, ἀλλὰ καὶ προσαγορεύομεν γράφοντες, καὶ ἐκ τῆς καρδίας ὄντως σε προσπτυσσόμενοι, καὶ τὰς ἱεράς σου χεῖρας καταφιλοῦντες, πᾶν ὅ, τι θυμῆρές σοι ἐπευχόμεθα. θυμῆρες δὲ, ὅπερ ἂν εἴη καὶ αὐτῷ τῷ θεῷ. πρὸς ὃν πάντα τὰ σαυτοῦ ῥυθμίζεις κινήματα. Σὺ δὲ καὶ πόῤῥω γινόμενος, μὴ λήσῃ τῆς ὑποσχέσεως. μηδὲ καταγάγῃς τῶν ἐλπίδων τοὺς ἐραστὰς, εἰς ἃς ἐντεῦθεν ἐπῆρες ἐπαγγελλόμενος, ὅτι δὴ θᾶττον ἐπανήξεις ἡμῖν συμφιλοσοφήσων. ἀλλ᾽ ὥσπερ ἀπὸ μηχανῆς θεὸς φασὶν ὁ λόγιος φάνηθι, ἐπεγείρων τῇ ῥάβδῳ τοῦ παραδείγματος τοὺς καθεύδοντας ὡς ὑπὸ μανδραγόρου. Ἀλλ᾽ οὖν καὶ τέως ἡμῶν μὴ φείσῃ κηδόμενος, τά τε ἄλλα καὶ ὅτι τῶν σῶν ἐδάφων εὐχῶν δεόμεθα. ἔρρωσο, καὶ προσαγόρευσον παρ᾽ ἐμοῦ τὸν αἰδεσιμώτατον Λουκιανὸν τὸν ἐμοὶ προσφιλέστατον, μετὰ τοῦ ὁσιωτάτου πρωτοσυγγέλου. αχε. Μεμακτηριῶνος νουμηνίᾳ ἀπὸ Βυζαντίου:

Ο

καὶ πάντων τῆς τῶν φιλοκαλιῶν ἐκδόσεως μὴ καταμελήσειας. Εἰκειότατα δέ σε καὶ ὁ θεοφιλέστατος Κυθήρων ἐπίσκοπος κύριος Μάξιμος ὁ ἐμὸς διδάσκαλος προσαγορεύει. ἔῤῥωσο:

Ἐπιστολαὶ Φραγγίσκου τοῦ Κόκκου:

Τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ κυρίῳ Διονυσίῳ τῷ Ἡρακλείας Φραγγίσκος ὁ Κόκκος εὖ πράττειν.

Τί οὖν ἡμῖν ὦ φίλη καὶ ἱερὰ κεφαλὴ, ἀμνηστείαν ἐγκαλέσεις τῆς σιωπῆς ἣν ἀγαγόντες ἐς δεῦρο μόλις καὶ τήμερον ἐλυσάμεθα; καὶ τίς ἂν ἀδέκαστος δικαστὴς τῇ δεινῇ ταύτῃ καὶ περὶ δεινῆς κατηγορίᾳ συνέθετο, ἀλλὰ μὴ μᾶλλον κεκράξεται καὶ ἀναβοήσει, ὅτι μὴ δίκαια ἐγκαλούμεθα; καὶ γὰρ οὕτως ἔχει. πολλὰ μὲν τὰ εἰς ἐμέ σου πλεονεκτήματα. τὸ εὔνουν, τὸ φιλικὸν, τὸ φιλόστοργον, αὐτόθεν ἔχοντα αὐτῶν ἄκραν τῆς περὶ ἐμὲ σπουδῆς σου τὸ πολλαπλάσιον. πολλὰ δέ σου τὰ προτερήματα, τὸ περὶ τὴν παιδείαν φιλόσοφον ὁμοῦ καὶ φιλόπονον, ἐν οὕτω προβάσει τῇ ἡλικίᾳ. τὸ πρὸς τοὺς δεομένους φιλάνθρωπον, ἐν οὕτω ἀφιλανθρώπῳ φορᾷ. τὸ ἀνειμένον τῶν λόγων πρὸς τοὺς κομῶντας τῷ πλούτῳ, καὶ τοὺς ἐπαρθέντας τοῖς ἀξιώμασι, κἂν αὐτοὶ ἀηδιαζόμενοι χαλεπαίνωσιν. ἔστιν ὅτε καθάπερ οἱ τῶν ἵππων ἀγέρωχοι τὸν καλὸν αὐτῶν ἐπιβάτην ἀναχαιτίζοντες. τοῦ τρόπου τὸ δίκαιον. ἡ ἔνστασις ὑπὲρ τοῦ δικαίου. τὸ σῶφρον καὶ μέχρι τοῦ μειδιάματος. τὸ σεμνόν. τὸ ταπεινόφρον. τὸ ἀλαζὲς. τὸ μειλίχιον. τἆλλα οἷς σὺ περιέχεις τὴν ἀρετὴν ἀμφήκη, τὸ δὴ λεγόμενον, καὶ οὐχ οἷα τοῖς πολλοῖς ἔθεις, εἰς πρόθυρά τε καὶ προχαράγματα καταλήγουσι. Τούτοις αὐτός σὺ προ-

ὑπεφήνετο. ἐγὼ τοιγαροῦν καὶ ἀπόντος, ἀλλά σου τὴν σοφίαν ὡς οὐδεὶς ἄλλος ἀγάμενος διατελῶ. καὶ τοῦτο σοι διὰ γραμμάτων δηλῶσαι βουλόμενος, τοῖς ἴσοις μέτροις ἀντιφιλεῖσθαι πρὸς σοῦ ἀξιῶ, καὶ σῶν ποτὲ ἀμοιβαίων οὐκ ἀμοιρῆσαι. τὸ γὰρ ἀνδράσι λογίοις τε καὶ πεπαιδευμένοις (ὅτι αὐτά σε παριστᾷ τὰ πράγματα) διὰ γραμμάτων συνομιλεῖν, μόνον μοι τοῦτο τῶν ἐν τοῖς μάλιστα κέκριται. γράφοις οὖν παρακαλῶ. εἰκόνας γὰρ εἰώθαμεν τῶν ἐρωμένων καταγγαλίζεσθαι, ὅταν αὐτῶν παρόντων μὴ ἐξῇ ἀπολαύειν;

Ὁ αὐτὸς τῷ αὐτῷ.

Τὸν σοφὸν Λεόντιον περὶ ἄλλα τῶν ἀναγκαίων κατησχολῆσθαι γίνωσκε. σπουδάζει γὰρ ἵνα Χριστιανοὺς διὰ λόγων ἱερῶν τῷ Κυρίῳ προσκλίσηται. καὶ τοῦτο αὐτῷ παρὰ τῶν τὰ πρωτεῖα ἐν τοῖς ἐκκλησιαστικοῖς ἐχόντων ἐπιτίθεται τὸ φορτίον, ἅτε δὴ εὐφυεῖ καὶ σοφῷ καὶ ζῆλον θεϊκὸν ἐν τοῖς καλοῖς ἔχοντι. αὐτὸ δὴ τοῦτο αἴτιον, καὶ τοῦ μὴ πρὸς τὴν σὴν σεμνοπρέπειαν καὶ μικρὰ ἐγχαράξασθαι γράμματα. ἐνθέντοι καὶ δι' ἐμοῦ προσηνῶς πάνυ προσαγορεύει σου τὴν τιμίαν κεφαλήν:

Λεόντιος Εὐστράτιος Δαβίδῃ τῷ Ἐχελίῳ.

Οὐδὲν τούτου πλέον ἢ ὅτι βίβλοι καὶ γράμματα παρά σου ἧκε μοι, τοῦ ἐμοῦ Θωμᾶ διεξελθόντος. Ὅτι τε δι' ἀρέσεως σοι τὰ καθ' ἡμᾶς ἐκμαθεῖν, σπεύσας ἔγραψα ἐν ἀκμῇ τῆς τῶν διακομιστῶν ἀποδημίας. ἴσθι οὖν ἡμᾶς ὦ βέλτιστε καὶ ἡμῖν καταθύμιε σὺν θεῷ ῥωννυμένους τὰ πάντα, καὶ τὰς ἐν Ἐπήσι διατριβὰς παραμένοντας. καὶ ταῦτα μὲν ἥδιον ἄσμενος δέξοιο, μετὰ τὴν σῶν γραμμάτων ἀνάγνωσιν δικαιοτέραν κατὰ τὴν τοῦ λόγου ἀπαίτησιν προσδοκῶν. πρὸ

πρὸς

μένα τῇ δὲ κἀκεῖσε περιπλανωμένα, ἵνα τοῦτο καὶ μόνον καρπώσηται, αὐτὴν τὴν τοῦ θρέμματος ἀτυχίαν. Ἀλλὰ γὰρ ἡμεῖς τήν τε ἄλλην σου περὶ ἡμᾶς οὐκ ἀγνοοῦντες διάθεσιν, καὶ τὸ τῶν τρόπων εὐπρεπές τε καὶ χαρίεν, οὐχ ὅτι γε λόγων θήρας, ἀλλὰ δὴ καὶ ἀνθρώπων, τό γ᾽ ἐπὶ σοὶ, ἐπιτεύξεσθαι καθηλπίκαμεν. εἴη δ᾽ ἄν τε ἡ περὶ τὸν καλὸν κἀγαθὸν Ἔμπορον, περὶ οὗ καὶ πρότερον φθάσαντες ἀπεσείλαμεν. καὶ γένοιτο πολλῶν ἕνεκα οὐκ ἀθέατον ἡμῖν γενέσθαι τὴν περὶ ταῦτα σπουδὴν καὶ προαίρεσιν. ἐῤῥωμένην διαφυλάττοι ὁ κύριος τὴν σὴν ἁγιωσύνην ψυχῇ τε καὶ σώματι. Συγγνοίης μοι παρακαλῶ ἐξ ἀνάγκης χρησαμένῳ νόμῳ λακωνικῷ. ἐν ἐπίηθεν Φεβρουαρίῳ ὀγδόῃ φθίνοντος χριστοῦ τὸ αφϟϛ. ἔτος.

Ἐπιστολαὶ Κυρίλλου τοῦ νῦν Κωνσταντινουπόλεως πατριάρχου. πρότερον δὲ Κωνσταντίνου καλουμένου:

Κωνσταντῖνος ὁ Λούκαρης Δαβίδῃ τῷ Ἐσχελίῳ εὖ πράττειν.

Καὶ τοῦτο πῶς σοι δοκεῖ, οὐ μικρὸν ἧσε μου τὴν ψυχὴν τὸ ἐγνωκέναι σοφόν σε Ἕλληνα εἶναι σοφώτατέ μοι Ἐσχέλιε. τί δὲ λέγω σοφὸν; καὶ σοφωτάτων ὑπέρτατον. τοῦτο γάρ μοι ἐκ τῶν σῶν γραμμάτων διατεθρυμένων τε καὶ τελειουμένων πρὸς τὸν Κυθήρων σοφώτατόν τε καὶ ἀξιάγαστον ἐπίσκοπον, τὸ τῆς Ἑλλάδος τό γε νῦν εἶναι, χρυσόν τε καὶ περίτιμον λείψανον, διήνυσαί τε καὶ ἐκδεδήλωται. καὶ σὲ δὶς καὶ τρὶς οὐκ ἀπεικότως ἐμακάρισα, τὰς ἀλλαχοῦ διατριβούσας Μούσας τῷ προσαγωγῷ σου τῶν λόγων χαλακυλήσαντα ἅμα καὶ καλλιεργήσαντα. ὥστε αὐτὰς ἐξ Ἑλικῶνος ὁρμηθείσας ἐν Αὐγούστῃ τῷ Ἐσχελίῳ ἐπικαθῆσθαι, τίς ἂν ἀπο-

οὐ πάνυ τοι, πλὴν ὀλίγων τινῶν διαλυμαίνοντα τὴν ἀνάγνωσιν. ἀλλὰ καὶ οὕτως ἐπισημειῶσαι ταῦτα οὐκ ἀπεδοκίμασα, ἵνα καὶ διὰ τούτου γοῦν ἐπιγνῷς μου τὸ πρόθυμον. Περὶ δὲ τῶν Προκοπίου ἐπιστολῶν περὶ ὧν γέγραφας, ναὶ μὰ τὸ πρὸς σέ μου φίλτρον, οὐδὲν σώζεται παρ' ἐμοί. ἄλλως γάρ, οὐκ ἂν ἀπεκνήσαμεν κἀν τούτῳ σοι προσχαρίσασθαι. ὥσπερ οὐδ' ὅσπερ ἐπιζητεῖς περὶ τῶν προλεγομένων παρῃτησάμεθα, εἴπερ τῶν περιεχομένων τῷ συγγράμματι ἐτύγχανεν ἡμῖν γνώριμον. ἐπειδὴ σοὶ φίλα τὰ παρ' ἡμῶν ὁποῖα δ' ἂν ταῦτα ᾖ: Περὶ δὲ τῶν ἐπιστολῶν τοῦ Ἰσιδώρου, καὶ τοῦ παρ' ἐμοῦ, ὅπως ποτὲ συντεθειμένων, ἐπειδ' ἂν εὐκαιροτέρας τύχω ἀφορμῆς τὰ δυνατὰ ἐξυπηρετήσω σοι. αἷς τό γ' ἐμοὶ δοκοῦν, εἰ καὶ τὰς οὔπω καὶ νῦν ἐκδεδομένας τοῦ Φωτίου ἐπισυνάψεις, πλεῖστα χαριῇ τοῖς περὶ λόγους καταγινομένοις: Ταῦτα παρ' ἡμῶν ὡς ἐν συντόμῳ καὶ αὐτοσχέδια πρὸς τὴν καλήν σου ἐπιστολήν. Σοὶ δ' ἀντιχαρίσαιό μοι πρὸς τοῦ φιλίου, τὸ, περὶ τῶν ἐμῶν συγγραμμάτων. εἶναι δὲ τοῦτο δεξιὸν μήνυμα. ἐρρωμένος μοι διαβιώης ψυχῇ τε καὶ σώματι ἀνδρῶν σοφώτατέ μοι καὶ προσφιλέστατε.

Μάξιμος ταπεινὸς Κυθήρων ἐπίσκοπος Σαμουήλῳ τῷ ὁσιωτάτῳ καὶ σοφωτάτῳ εὖ . πράττειν.

Λόγοις λόγων ἀντιθηρῶμαι παρὰ τοῦ λόγοις ἐντρυφῶντος διηνεκῶς, ὡς εἴη γε καὶ τῆς τούτων ἐπικαρπίας, ἵν' ἅμα καὶ τρυφῴη καὶ τελειοῖτο τὰ κρείττονα. εἰ δὲ μή μοι ἄλλως ἠθήρα διαπεπόνηται, αὐτὸς δείξεις, ᾧ φέρων τὴν ἐπὶ τούτοις πᾶσαν ἐλπίδα ἀνέθηκα. δείξεις δ' ἄρα φιλῶν εἰ μόνον καὶ βούλοιο, ὡς οὐχ ἥκει ἡμῖν εἰς ἀποτυχίαν τὰ τῆς σπουδῆς. ἀλλὰ καὶ μάλα διαπόκλητα, ὧν ἡμεῖς περὶ τὴν ἀτυχίαν κατεχολήμεθα. θηρώδεις τι ὑπόζει καὶ τὰ γραφόμενα

Φρεγγίσκος ὁ Κόκκος, τῷ τιμιωτάτῳ καὶ λογιωτάτῳ κυρίῳ Ἰωάννῃ Ματθαίῳ τῷ Βουστρονίῳ, χαίρειν.

Διττὴν ἐκομισάμην ἐπιστολὴν παρὰ σοῦ περιστιλέσαντι· τὴν μὲν, ἑλληνιστὶ φθεγγομένην· τὴν δὲ, ἡρμοσμένην ἰταλιστί. καὶ ἐπέγνωκά σοι τὸ πεφυκὸς τῶν ἠθῶν τῆς πρὶν εἰλικρινείας παραλλάξαν μηδέν· πρὸς δὲ καὶ τὸ φίλτρον τὸ πρὸς ἡμᾶς, χωρὶς ὂν ἀπάσης διπλόης τε καὶ σκηνῆς. οὐ μόνον ἂν εἴποιμι τοῦ πάθους τὸ πολλαπλάσιον, ἀφ' οὗπερ ἔρωτι ἑαλωκὼς, ὅτε μετηρχόμην τὰ γράμματα. ἐκεῖνο δ' οὖν τῆς θυμηδίας ἦν τὸ κεφάλαιον, ὅτι τὸν χρυσοῦν κολοφῶνα, ὃν αὐτὸς ἐπέθηκας τοῖς μαθήμασι, φύσει γονίμῳ χρησάμενος καὶ προθυμίᾳ σπουδῆς, ὑπὸ τῆς ἄγαν εὐγνωμοσύνης, τοῦτον ἀνετίθης ἡμῖν, δι' ἥνπερ εὔνοιαν καὶ προθυμίαν ὡς ὁ Ῥήτωρ φησί. παρὰ δὲ ταῦτα, οὐδέν τι συνεισηνέγκαμεν, πλὴν ἀλλὰ καὶ ταυτηνὶ τὴν φιλοτιμίαν ἠσμενισάμεθα μετὰ τῶν ἄλλων σου πλεονεκτημάτων, ὧν περιλαβὼν ὑπέγραψας τὰ γνωρίσματα. οὐδεμίαν οὐδὲ τοῦτο κέντρον ἦν ἔλαττον ἡδονῆς, ὅτι σοὶ γραμμάτων ἀρξαμένῳ τῶν πρὸς ἡμᾶς, καὶ ὧν ἀπῆρξω καλῶς ποιῶν τῷ κοινῷ καλλωπίσματι τοῦ γένους τοῦ ἡμετέρου. τούτοις οὐκ ἀπεικὸς ἔδοξε καὶ ἡμᾶς ἐπιάσαι τοὺς μακρῷ πόθῳ τούτων κάμνοντας τῶν καλῶν. Ἔγωγε μὲν οὖν ὅπερ ἔπαθον πρὸς τὴν λογίαν ταυτηνὶ τράπεζαν τῶν ἀγαθῶν θέσεων καὶ τῶν ὕμνων, ὡς κοινόν τι πάθος παρίημι. Τί δὲ πρὸς τὸν ἔφορον ὃν ἐπιγεγραμμένα ἐφιλοτιμοῦτο τὰ παραθέματα; ἔπαθόν τι πρὸς τὴν εἰκόνα, καὶ δὴ ἔνθους γενόμενος, περιεχύθην καὶ πολλάκις κατεφίλησα. ἰδοὺ λέγων ἐκεῖνο τὸ ἔμπνουν ἀρχέτυπον, ὅπερ Βουστρώνιος ἐκμαξάμενος ὁ καλὸς, καὶ τῶν νωθροτέρων ἀποτινάξας τὴν νάρκην, Ἡρακλειά τις σιδήρῳ γενόμενος. Πρὸς ταῦτα μὲν οὖν ὦ γενναῖε ἡμᾶς

περιρεόμενος ἀγαθῶν, οὐδαμόθεν ὤφθης τῷ ῥάματι τοῦ τύφου παρασυρεὶς, ἀλλ᾽ ὑπὸ τοῦ ἄγαν σου μετριότητος καὶ σαυτὸν γράφεις ἐρυθριᾶν, ἐφ᾽ οἷς σε παρ᾽ ἀξίαν (ὡς αὐτὸς φάσκεις) ἐπαίρομέν τε καὶ ἐκθειάζομεν. καί τοι μηδ᾽ ἐγγὺς ἡμεῖς ἤλθομεν τῆς ἀξίας, μηδ᾽ οὕτως ἀγνώμονες τῆς σῆς γεγόναμεν ἀρετῆς, ὥστε δι᾽ ἐπιστολῆς φιλοτιμηθῆναι ἐφικέσθαι τοῦ πρέποντος. Ἀλλ᾽ ὁ μὲν παρ᾽ ἐμοῦ σοι πλεκόμενος στέφανος, ὁπωσδηποτοῦν ἔχει, κοινὸς ἐμοί γε πρὸς πάντας ἐστὶν, οἷς σαυτὸν ἐμπαρέχοντι τὴν ἀρετὴν ἀνώτερον τῶν πολλῶν, ἀνάγκη πᾶσα καὶ τὰ τῶν ἐπαίνων παρέπεται. ἐμοὶ δ᾽ ἄρα ὁ παρὰ σοῦ ἔπαινος πῶς δοκεῖς ὑπῆρξαι διαφερόντως καὶ ἡδὺς καὶ ὀνήσιμος. οὐ γὰρ δὴ μόνον τὴν σὴν διάθεσιν καλεμήνυεν εὔνοια δεδικασμένην περὶ τὴν ψῆφον τὴν καθ᾽ ἡμῶν. ἀλλὰ καὶ τὸν ἐν ἡμῖν ἔρωτα τῆς σπουδῆς ἀνεζωπύρισεν οὐ μετρίως, καὶ οἷόν τινα ἐκ σπινθῆρος πυρσὸν ἀπέφηνεν, αἰσχυνομένων ἡμῶν πολὺ κατόπιν ἥκειν τῆς χρηστῆς ταύτης σου ὑπολήψεως. Ἀλλ᾽ ὅπως σπουδάζων ὀνίνημι τὸ γένος ἡμῶν, τί ἂν πρὸς σε γράφων ἐκτραγῳδοίην; μέσην θράπτομαι τὴν καρδίαν, ἐπεὶ τὴν κατασχοῦσαν ἡμᾶς σκοτόμαιναν, λῦσαι μὲν διατείνομαι, ἀνύσαι δ᾽ οὐκ ἰσχύω. ἤδη πάτερ θεσπέσιε καὶ αὐτὸς ὃς μόνος ὑπόλοιπος ἦν τῆς παιδείας ὁ πόθος, μετὰ τῶν ἄλλων ἐξέπνευσε. καὶ πᾶσι μᾶλλον χαίρουσιν Ἕλληνες, ἢ τῇ ἑλληνικῇ ἀφραδίᾳ καὶ ταῖς μελέταις καὶ ἐπιστήμαις, ὧν γεγόνασιν ἀρχηγέται πρὶν καὶ προπάτορες. καὶ οὐδὲ συνιέναι βούλονται, ὡς ἐντεῦθεν ἡμῖν ὁ πολὺς τῶν δεινῶν ἑσμὸς συνερρύηκεν. ὅμως ὑπομονητέον (ὡς καὶ αὐτὸς γράφεις.) πρὸς δὲ καὶ τὸ θεῖον δυσωπητέον, καὶ ποιητέον τὸ ἐφικτόν. ἵνα διὰ τῶν σῶν ἐθάδων ποδηγηθέντες ἀρχῶν, ὀψὲ γοῦν τινα λάβοιμεν αἴσθησιν τοῦ κακοῦ. καὶ μὴ ὥσπερ ἀρνία περὶ τὴν Κρίνην, (ὥς φησιν ὁ Πλάτων) μεσημβριάζωμεν. ἔρρωσο. Ἑκατομβαιῶνος νουμηνίᾳ ἀπὸ Βυζαντίου:

Φραγ-

ὑπὸ τοῦ πάθους κατὰ τοὺς διαπύρως διψῶντας ἐπὰν κεναῖς περιτύχωσι ταῖς πηγαῖς, αἷς ὡς πληρεστάταις προσῆλθον. Ἀλλά τί μοι λοιπὸν πάτερ θεσπέσιε, ἢ γράμμασί γε πάλιν ἐπανῆξαι πρὸς τὴν Ἡράκλειαν καὶ ἀναψῦξαι γοῦν ἐξ ἡμισείας τὸν πόθον, οὗ τὴν φλόγα τοσοῦτον ἐν ἐμαυτῷ τέθραφα; προσείρησον οὖν μοι διὰ τῆς ἐπιστολῆς ἀξιέραστε, καὶ πάνυ καὶ πολλάκις προσείρησον. καὶ χαῖρε παρ' ἐμοῦ ἄρτι μὲν σοῦ βεβλημένου τῷ φίλτρῳ, ἀμιλλωμένου δ' ὅμως τοῖς ἐκ παλαιοῦ σε φιλήσασι. γένοιτο δὲ ἐς τάχος καὶ κατὰ πρόσωπον ἐμοὶ μετὰ τῆς ἐμαυτοῦ περί σε διαθέσεως· σοὶ δ' ἄρα πάτερ θειότατε τῆς σαυτοῦ μοι ἀρετῆς καὶ χαρίτων, τελεώτατα. ἔρρωσο. αφχδ΄. Γαμηλιῶνος ὀγδόη ἐπὶ δέκα.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ἐγὼ σοῦ τοῖς γράμμασιν ἐντυχὼν τοῖς σοφωτάτοις τε καὶ καλλίστοις, τὸν ἐμὸν μὲν ᾤμην τοῦ σὲ θεάσασθαι πόθον ἐκοῦν μετρίως ψυχαγωγήσειν, καὶ ἣν πάλαι ῥᾳστώνην ἐστέρημαι διαμαρτὼν σου τῆς συντυχίας, ταύτην διὰ τῆς ἐντεύξεως ταύτης ἀνασυκώσασθαι. ἀλλὰ γὰρ αὐτὰ μετερχόμενος, τοσοῦτον ἐδέησα τοῦ καὶ μικρὸν τὸ πάθος ἀκέσασθαι, ὥστε μου τῆς ψυχῆς τοὐφιέμενον ἐπὶ τὸ πλέον ἐπιλαθῆναι. Ἆρ' οὖν εἰκόνα σαυτοῦ στερήσωμεν τὴν ἐπιστολὴν ἡρμοκέναι; ἡ μὲν γὰρ μιμουμένη ὅσον ἐφικτὸν τὸ ἐρρωμένον, ἀμηγέπως ἐπικουφίζει τοῖς ἐρασταῖς τὴν ἐκ τῆς ἀπουσίας δυσχέρειαν. ἡ δ' οἵων ἄρ' ἀποτύχομεν τὴν μνήμην ἀναρριπίζασα, βαρύτερον τὸ πάθος ἡμῖν ἀπειργάσατο. καὶ ὅτι μὴ καταλαβὼν τὴν Ἡράκλειαν ἔχον παρατεῖναι τὴν ἐνδημίαν κατὰ τὴν πόλιν, ὥς' ἄν μοι γένοιτο τῶν ποθουμένων ἡ πεῖρα. νῦν ἐκ πλείονος ἄχθομαι. ἴσασιν ὅσοι τῶν σῶν καλῶν τυγχάνουσιν ἐρασταί, ὡς οὐ λόγος εἰσὶ τὰ γραφόμενα, ἀλλ' ἀπηχήματα πάντως ψυχῆς τι προσπαθούσης τοῖς παρὰ σοῦ γράμμασι. τί γάρ τοι τῶν γεγραμμένων οὐ σε τοιοῦτον ἐδίδου ἐπιγνῶναι διὰ πείρας, οἷον διὰ τῆς φήμης ἐγνώκαμεν; Ἀλλ' οὖν ἐκεῖνο τῶν περί σε καλῶν τὸ κεφάλαιον ἦν, ὅτι τοσαύτῃ ἀφθονίᾳ περι-

περι-

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ἐμοὶ μὲν ἐξ ὅτουπερ ἔγνωσο τῆς ἐνεγκαμένης ἀπᾶραι εὐθὺ τῆσδε τῆς βασιλευούσης τῶν πόλεων, ἡλίκος οἴει πόθος ἐνέστακται τοῦ καὶ τὴν ὅμορον αὐτῇ πόλιν τὴν Ἡράκλειαν ὄψεσθαι; εἷλκε δὲ παρ' αὐτὴν, οὐχ ἡ νεκρὰ λίθος Ἡρακλεία, εἰ καὶ ἐνεργεστέραν εἶναι φασὶν αὐτὴν τῆς Μαγνήτιδος, καὶ ταύτην φέρειν τάχα περιθρυλλοῦσι τὴν πόλιν. ἀλλ' ἥγε ζῶσα λίθος καὶ ἔμπνους ἡ ἀρετὴ, ἧς τὸ κράτος οὐκ ἀβασάνιστον, καὶ αὐτὸς ἐπιδείξαι αὐτόθι, καὶ τὴν σφόδρ' ἂν αἱρήσαις ἀμείλικτον, καὶ τῶν σιδήρου φασὶ γένους καὶ τῶν χαλκοῦ πρὸς τὸ χρυσοῦν μεταστῆσαι. καὶ τί γὰρ οὐκ ἐπείρασεν τῶν ὅσα δὴ λέγεται αὐτήν σοι προσάψαι τὴν ἀρετὴν, οἷα φιλοτιμησαμένην τὴν δωρεάν; ἵνα γὰρ τἆλλα παρέλθω, τὴν τοῦ βίου λαμπρότητα, τὸ τῶν λόγων θέλκτρον, τῶν νοημάτων τὸ χάριεν, τοῦ ἤθους τὸ προσηνὲς, τῶν τρόπων τὸ ἄδολον, τἆλλα, ὧν πλήρης μὲν πᾶσα καθέστηκεν ἀκοὴ, οὐδεμία δὲ ἐς τόδε χρόνου εὗρεν οὐδένα. τίς οὐκ ἂν ἀγάσαιτο τοῦ φίλτρου τὸ περιττὸν; ὃ περὶ τὴν παιδείαν καὶ τοὺς ὁπωσοῦν αὐτῆς ἐπιβόλους οὕτως ἐπιδεικνύεις ἀεὶ ἀκμάζον καὶ ἐπανθοῦν, ὥστε καὶ τὸν ἅπαξ σοι ἐντυχόντα (ἂν ἄρα μὴ ἀνέραστος ᾖ παντάπασι τῶν καλῶν) πρὸς τὸν αὐτόν σοι πόθον συνεξορμᾶν τὰ σὰ θηρώμενον παιδικὰ, καὶ τοῦτο πείθειν ἑαυτὸν, ἀναπείθειν δὲ καὶ τοὺς ἄλλους (οἷς οὐ πέπνυται σκιᾶς δ' ἀΐσσειν εἶπεν ἂν Ὅμηρος) ὡς ἔστι τι καὶ παιδείας ὄφελος, καὶ μὴ πάντα φέρει ὁ τύχης ἔμετος πλοῦτος. ἀλλὰ καὶ ἄκων θητεύει τῷ ἀσύλῳ τῆς ἀρετῆς, καθάπερ ἵππος τῷ ἀναβάτῃ, ἂν μήγε μέλλει εἰς κρημνοὺς καὶ βάραθρα ἐμπεσεῖν. Ταῦτ' ἐγὼ τῆς Ἡρακλείας ἥρων τῆς σῆς, καὶ τὸν ἔρωτα τὰ μὲν ἤδη κατεῖχον ἐν ἐμαυτῷ, τὰ δ' ὡμολόγησα. ἀλλὰ τῆς μὲν χώρας ἰδοὺ δὴ γέγονα θεατής. γέγονα δὲ, ὅτε πρώην αὐτοῦ καθωρμίσθησαν αἱ βασιλέως τριήρεις. σοῦ δὲ τῆς ἐρωμένης μου θέας ἀποτυχὼν, μὴ τότε παρούσης ἐκεῖσε, οὐδὲν ἧττον ἀπῆλθον πάλιν ἐρῶν. μᾶλλον δὲ καὶ σφοδρότερον ἑαλώκειν

ὑπὸ

Ὁ αὐτὸς τῷ αὐτῷ.

Εἰ τοσοῦτον ἡμᾶς ἐξήρτησεν ὁ παρ' ἡμῖν σου καλάπλους καὶ ἀμυδραῖς ἐλπίσι σκιαγραφούμενος, σκόπει δ' ὦ θαυμάσιε τί ἂν αὐτοῖς δράσοι τοῖς πράγμασι περατούμενος. πλὴν ἀλλὰ χάρις τῷ δεῖνι καὶ παρ' ἡμῖν ἀνάγραπτος κείσθω, ἔναγχος διαπλεύσαντι δι' ὑμῶν ἐκ τῆς Νήσου τῶν Ἀξέων. οὐ τοσοῦτον ὅτι γράμματα διεκόμισε παρὰ τῶν προσηκόντων κατὰ γένος, ὃ ἐφ' οἷς ὧν ἠράμην τὰ μάλιστα περὶ σοῦ ἐποιήσατο κατηκόους, καὶ τὰ περὶ τῆς σῆς ὑγείας ἐδήλωσε, καὶ τὰ τῆς εἰς ἐμὲ σου χρήσεως καὶ σπουδῆς. καὶ τὸ δὴ κεφάλαιον τῶν μακρῶν ἡμῶν πόθων τὴν σὴν ἄφιξιν ἀπηγγείλατο ὅσον οὔπω γενησομένην. νικήσειεν οὖν ὁ παρ' αὐτῷ τρίπους, καὶ ἥκοις πρὸς ἡμᾶς μηδὲν ἐπὶ πλέον παρατείνας τὴν ἐκδημίαν. πάντες γὰρ κεχήναμεν ταῖς ὁλκάσι, καί σε ταῖς προσλαβούσαις μὴ ἰδόντες, ταῖς ἐπιούσαις ἐλπίζομεν. καὶ ἐξ ἄλλων ἄλλαις παραπεμπόμενοι ψυχαγωγούμεθα ταῖς ἐλπίσιν, ὁπόσοι περὶ σὲ ἐρωτικῶς διακείμεθα. διακείμεθα δ' ὅσοι τὴν ὀφειλὴν ἀποτείνομεν ταῖς μυρίαις οὔσαις τῶν ἀρετῶν. αἵ σου τὴν κεφαλὴν ἀναδήσασαι, μετὰ μεγάλης φιλοτιμίας μακαριστὸν ἅπασι ποιοῦσι καὶ ζηλωτόν. Ἀλλ' ὅρα λοιπὸν μὴ πάλιν πρύμναν κρουσάμενος καὶ ἀναδὺς, τὸ τοῦ λόγου, λάθῃς τοὺς φιλτάτους ἀποδείξῃς χανόντας. ἐφ' οἷς πολλοὶ μὲν ἀνιάσονται. πάντων δὲ μάλιστα ὁ Φραγγίσκος ὁ σός. εἰ δὲ ὥσπερ ὀνείρων ἐξαρώμεθα τῶν ἐλπίδων (ὃ δὴ καὶ λέγεται) τέως γοῦν ἅψαιο διὰ γραμμάτων τοῦ πλοῦ. ἀρκέσει γὰρ ἡμῖν καὶ μικρόν τι γραμμάτιον Διονυσίου τοῦ θαυμαστοῦ ἡδονὴν μνηστεῦσαι μεγάλην, καὶ ἔσῃ οὐκ ἂν ἄλλων ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίοισι. μνηστεύσει δὲ πῶς; ἂν δὲ καὶ μόνον ἀναφανὲν τὴν σὴν ἐς τάχος ἄφιξιν προσαγγείλῃ, καθάπερ οὖν τὸ ἔαρ ἡ ἀηδὼν μουσουργήσασα. ἔρρωσο. Θαργηλιῶνος ἐξιόντος φθίνοντος. αχε.

προσβαλὼν ἐμοὶ ὦ θαυμάσιε, καὶ πάλαι μὲν πρὸς σεαυτὸν εἷλες διὰ τῆς φήμης, ὥσπερ Σαιρῆνός τινὸς ἢ ἴγκος. ἤδη δὲ καὶ διὰ πείρας ἐλθὼν ἐξήρτησας ὥσπερ καὶ ἄλλον κεστὸν ἔρωτος σεμνοτέρου τῇ περιβολῇ τῶν σῶν καλῶν ἐπαφέμενος, κατὰ μικρὸν τήκομαι μεμνημένος, οἵων ὅρα τρυφήσας, μᾶλλον δὲ χείλεσι φασὶν ἄκροις ἀναγευσάμενος, πάντων ἐστερήθην ἀθρόον. οὕτω μηδέν τι φάρμακον κἂν αὐτόχρημα ᾖ τὸ ληθαῖον ἐκεῖνο, ᾧ κομψεύεται Πλάτων, τὰς ψυχὰς φαρμακευομένας ἐπιλανθάνεσθαι, ἐνστάξειν ἄν μοι λήθην τοῦ περὶ σὲ θαύματος. Τί μοι οὖν ἄρα τὸ τὴν ἀναβολὴν ἐμποιῆσαν τοῦ γράμματος; αὐτὸς σὺ πάτερ φιλοστοργότατε. σοῦ τοσαύταις ἀκούοντες ἐγκαλινδούμενον ἀσχολίαις, καὶ μικροῦ γοῦν ἀνακόπτειν διελαβόμεθα, τῇ ἀπασχολήσει τῶν ἡμετέρων. τοιγάρτοι καὶ μέχρι καὶ τήμερον τοῦ γράφειν κατασχόντες τὴν φλόγα, νῦν ἐπὶ πλέον ἀφθεῖσαν οὐ πλέον ἀντέχομεν πρὸς αὐτήν, ἀλλὰ καὶ προσαγορεύομεν γράφοντες, καὶ ἐκ τῆς καρδίας ὄντως σε περιπτυσσόμενοι, καὶ τὰς ἱεράς σου χεῖρας καταφιλοῦντες, πᾶν ὅ, τι θυμῆρες σοι ἐπευχόμεθα. θυμῆρες δέ, ὅπερ ἂν εἴη καὶ αὐτῷ τῷ θεῷ. πρὸς ὃν πάντα τὰ σαυτοῦ ῥυθμίζεις κινήματα. Σὺ δὲ καὶ πόρρω γινόμενος, μὴ λήσῃ τῆς ὑποσχέσεως. μηδὲ καταγάγῃς τῶν ἐλπίδων τοὺς ἐραστάς, εἰς ἃς ἐντεῦθεν ἐπῆρες ἐπαγγελλόμενος, ὅτι δὴ θᾶττον ἐπανήξεις ἡμῖν συμφιλοσοφήσων. ἀλλ' ὥσπερ ἀπὸ μηχανῆς θεός φασιν οἱ λόγιοι φάνηθι, ἐπεγείρων τῇ ῥάβδῳ τοῦ παραδείγματος τοὺς καθεύδοντας ὡς ὑπὸ μανδραγόρου. Ἀλλ' οὖν καὶ τέως ἡμῶν μὴ φείσῃ κηδόμενος, τά τε ἄλλα καὶ ὅτι τῶν σῶν ἐδάθων εὐχῶν δεόμεθα. ἔρρωσο, καὶ προσαγόρευσον παρ' ἐμοῦ τὸν αἰδεσιμώτατον Λουκιανὸν τὸν ἐμοὶ προσφιλέστατον, μετὰ τοῦ ὁσιωτάτου πρωτοσυγγέλου. ͵αχε. Μαιμακτηριῶνος νουμηνία ἀπὸ Βυζαντίου:

Ὁ

ἢ πάντων τῆς τῶν φιλοκαλιῶν ἐκδόσεως μὴ καταμελήσειας. Εἰκειότατα δέ σε καὶ ὁ θεοφιλέστατος Κυθήρων ἐπίσκοπος κύριος Μάξιμος ὁ ἐμὸς διδάσκαλος προσαγορεύει. ἔρρωσο:

Ἐπιστολαὶ Φραγγίσκου τοῦ Κόκκου:

Τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ κυρίῳ Διονυσίῳ τῷ Ἡρακλείας Φραγγίσκος ὁ Κόκκος εὖ πράττειν.

Τί οὖν ἡμῖν ὦ φίλη καὶ ἱερὰ κεφαλὴ, ἀμνηστίαν ἐγκαλέσεις τῆς σιωπῆς ἣν ἀγαγόντες ἐς δεῦρο μόλις καὶ τήμερον ἐλυσάμεθα; καὶ τίς ἂν ἀδέκαστος δικαστὴς τῇ δεινῇ ταύτῃ καὶ πέρα δεινῆς κατηγορίᾳ συνέθετο, ἀλλὰ μὴ μᾶλλον κεκράξεται καὶ ἀναβοήσει, ὅτι μὴ δίκαια ἐγκαλούμεθα; καὶ γὰρ οὕτως ἔχει. πολλὰ μὲν τὰ εἰς ἐμὲ σου πλεονεκτήματα. τὸ εὔνουν, τὸ φιλικὸν, τὸ φιλόστοργον, αὐτόθεν ἔχοντα αὐτῶν ἄκραν τῆς περὶ ἐμὲ σπουδῆς σου τὸ πολλαπλάσιον. πολλὰ δέ σου τὰ προτερήματα, τὸ περὶ τὴν παιδείαν φιλόσοφον ὁμοῦ καὶ φιλόπονον, ἐν οὕτω προβάσει τῇ ἡλικίᾳ. τὸ πρὸς τοὺς δεομένους φιλάνθρωπον, ἐν οὕτω ἀφιλανθρώπῳ φορᾷ. τὸ ἀνειμένον τῶν λόγων πρὸς τοὺς κομῶντας τῷ πλούτῳ, καὶ τοὺς ἐπαρθέντας τοῖς ἀξιώμασι, κἂν αὐτοὶ ἀνθιαζόμενοι χαλεπαίνωσιν. ἔστιν ὅτε καθάπερ οἱ τῶν ἵππων ἀγέρωχοι τὸν καλὸν αὐτῶν ἐπιβάτην ἀναχετίζοντες. τοῦ τρόπου τὸ δίκαιον. ἡ ἔνστασις ὑπὲρ τοῦ δικαίου. τὸ σῶφρον καὶ μέχρι τοῦ μειδιάματος. τὸ σεμνόν. τὸ ταπεινόφρον. τὸ ἀλαβές. τὸ μειλίχιον. τἄλλα οἷς σὺ προέχεις τὴν ἀρετὴν ἀμφήκη, τὸ δὴ λεγόμενον, καὶ οὐχ οἷα τοῖς πολλοῖς ἔθεις, εἰς πρόθυρά τε καὶ προχαράγματα καταλήγουσι. Τούτοις αὐτός σοι

προ-

ἀποφήνετο. ἐγὼ τοιγαροῦν καὶ ἀπόντος, ἀλλά σου τὴν σοφίαν ὡς οὐδεὶς ἄλλος ἀγάμενος διατελῶ. καὶ τοῦτο σοι διὰ γραμμάτων δηλῶσαι βουλόμενος, τοῖς ἴσοις μέτροις ἀντιφιλεῖσθαι πρὸς σοῦ ἀξιῶ, καὶ σῶν ποτὲ ἀμοιβαίων οὐκ ἀμοιρῆσαι. τὸ γὰρ ἀνδράσι λογίοις τε καὶ πεπαιδευμένοις (οἷς αὐτά σε παριστᾷ τὰ πράγματα) διὰ γραμμάτων συνομιλεῖν, μόνον μοι τοῦτο τῶν ἐν τοῖς μάλιστα κέκριται. γράφοις οὖν παρακαλῶ. εἰκόνας γὰρ εἰώθαμεν τῶν ἐρωμένων καταγγαλίζεσθαι, ὅταν αὐτῶν παρόντων μὴ ἐξῇ ἀπολαύειν;

Ὁ αὐτὸς τῷ αὐτῷ.

Τὸν σοφὸν Λεόντιον περὶ ἄπλα τῶν ἀναγκαίων κατησχολῆσθαι γίνωσκε. σπουδάζει γὰρ ἵνα Χριστιανοὺς διὰ λόγων ἱερῶν τῷ Κυρίῳ προσκλήσηται. καὶ τοῦτο αὐτῷ παρὰ τῶν τὰ πρωτεῖα ἐν τοῖς ἐκκλησιαστικοῖς ἐχόντων ἐπιτίθεται τὸ φορτίον, ἅτε δὴ εὐφυεῖ καὶ σοφῷ καὶ ζῆλον θεϊκὸν ἐν τοῖς καλοῖς ἔχοντι. αὐτὸ δὴ τοῦτο αἴτιον, καὶ τοῦ μὴ πρὸς τὴν σὴν σεμνοπρέπειαν καὶ μικρὰ ἐγχαράξασθαι γράμματα. ἐνθέντοι καὶ δι' ἐμοῦ προσηνῶς πάνυ προσαγορεύει σου τὴν τιμίαν κεφαλήν:

Λεόντιος Εὐστράτιος Δαβίδῃ τῷ Ἐχελίῳ.

Οὐδὲν τούτου πλέον ἢ ὅτι βίβλοι καὶ γράμματα παρά σου ἧκε μοι, τοῦ ἐμοῦ Θωμᾶ διεξελθόντος. Ὅτι τε δι' ἐρέσεως σοι τὰ καθ' ἡμᾶς ἐκμαθεῖν, σπεύσας ἔγραψα ἐν ἀκμῇ τῆς τῶν διακομιστῶν ἀποδημίας. ἴσθ' οὖν ἡμᾶς ὦ βέλτιστε καὶ ἡμῖν καταθύμιε σὺν θεῷ ἐρρωμένους τὰ πάντα, καὶ τὰς ἐν Ἐπήσι διατριβὰς παραμένοντας. καὶ ταῦτα μὲν ἥδιον ἄσμενος δέξοιο, μετὰ τὴν τῶν γραμμάτων ἀνάγνωσιν διεξοδικωτέραν κατὰ τὴν τοῦ λόγου ἀπαίτησιν προσδοκῶν. ἀπὸ

μένα τῇ δὲ κἀκεῖσε περιπλανωμένα, ἵνα τοῦτο καὶ μόνον καρπώσηται, αὐτὴν τὴν τοῦ θρέμματος ἀτυχίαν. Ἀλλὰ γὰρ ἡμεῖς τήν τε ἄλλην σου περὶ ἡμᾶς οὐκ ἀγνοοῦντες διάθεσιν, καὶ τὸ τῶν τρόπων εὐπρεπές τε καὶ χαρίεν, οὐχ ὅτι γε λόγων θήρας, ἀλλὰ δὴ καὶ ἀνθρώπων, τό γ' ἐπὶ σοὶ, ἐπιτεύξεσθαι καθηλπίκαμεν. εἴη δ' ἄν τε ἡ περὶ τὸν καλὸν κἀγαθὸν Ἔμπορον, περὶ οὗ καὶ πρότερον φθάσαντες ἀπεστείλαμεν. καὶ γένοιτο πολλῶν ἕνεκα οὐκ ἀθήρατον ἡμῖν γενέσθαι τὴν περὶ ταῦτα σπουδὴν καὶ προαίρεσιν. ἐρρωμένην διαφυλάττοι ὁ κύριος τὴν σὴν ἁγιωσύνην ψυχῇ τε καὶ σώματι. Συγγνοίης μοι παρακαλῶ ἐξ ἀνάγκης χρησαμένῳ νόμῳ λακωνικῷ. ἐν ἐπίηθεν Φεβρουαρίῳ ὀγδόῃ φθίνοντος χριστοῦ τὸ ᾳφζ ϛ. ἔτος.

Ἐπιστολαὶ Κυρίλλου τοῦ νῦν Κωνσταντινουπόλεως πατριάρχου. πρότερον δὲ Κωνσταντίνου καλουμένου:

Κωνσταντῖνος ὁ Λούκαρης Δαβίδῃ τῷ Ἑσχελίῳ εὖ πράττειν.

Καὶ τοῦτο πῶς σοι δοκεῖ, οὐ μικρὸν ἦσε μου τὴν ψυχὴν, τὸ ἐγνωκέναι σοφόν σε Ἕλληνα εἶναι σοφώτατέ μοι Ἑσχέλιε. τί δὲ λέγω σοφὸν; καὶ σοφωτάτων ὑπέρτατον. τοῦτο γάρ μοι ἐκ τῶν σῶν γραμμάτων διατετρευμένων τε καὶ πειαζομένων πρὸς τὸν Κυθήρων σοφώτατόν τε καὶ ἀξιάγαστον ἐπίσκοπον, τὸ τῆς Ἑλλάδος τό γε νῦν εἶναι, χρυσόν τε καὶ περίτιμον λείψανον, διήνυσαί τε καὶ ἐνδεδήλωται. καὶ σὲ δὶς καὶ τρὶς οὐκ ἀπεικότως ἐμακάρισα, τὰς ἀλλαχοῦ διατριβούσας Μούσας τῷ προσαγωγῷ σου τῶν λόγων κατακηλήσαντα ἅμα καὶ καταγοητεύσαντα. ὥστε αὐτὰς ἐξ Ἑλικῶνος ὁρμηθείσας ἐν Αὐγούστῃ τῷ Ἑσχελίῳ ἐπικαθῆσθαι, τίς ἂν ἀπο-

οὐ πάνυ τοι, πλὴν ὀλίγων τινῶν διαλυμαίνοντα τὴν ἀνάγνωσιν. ἀλλὰ καὶ οὕτως ἐπισημειῶσαι ταῦτα οὐκ ἀπηξιώκαμεν, ἵνα καὶ διὰ τούτου γοῦν ἐπιγνῷς μου τὸ πρόθυμον: Περὶ δὲ τῶν Προκοπίου ἐπιστολῶν περὶ ὧν γέγραφας, ναὶ μὰ τὸ πρὸς σέ μου φίλτρον, οὐδὲν σώζεται παρ' ἐμοί. ἄλλως γάρ, οὐκ ἂν ἀπικνήσαμεν κἂν τούτῳ σοι προσχαρίσασθαι. ὥσπερ οὐδ' ὅσα ἐπιζητεῖς περὶ τῶν προλεγομένων παρητήσαμεν, εἴπερ τῶν περιεχομένων τῷ συγγράμματι ἐτύγχανεν ἡμῖν γνώριμον. ἐπειδὴ σοι φίλα τὰ παρ' ἡμῶν ὁποῖα δ' ἂν ταῦτα ᾖ: Περὶ δὲ τῶν ἐπιστολῶν τοῦ Ἰσιδώρου, καὶ τοῦ παρ' ἐμοῦ, ὅπως ποτὲ συντεθειμένων, ἐπειδ' ἂν εὐκαιρεστέρας τύχω ἀφορμῆς τὰ δυνατὰ ἐξυπηρετήσω σοι. αἷς τό γ' ἐμοὶ δοκοῦν, εἰ καὶ τὰς ὕπω καὶ νῦν ἐκδεδομένας τοῦ Φωτίου ἐπισυνάψεις, πλεῖστα χαριῇ τοῖς περὶ λόγους καταγινομένοις: Ταῦτα παρ' ἡμῶν ὡς ἐν συντόμῳ καὶ αὐτοσχέδια πρὸς τὴν καλήν σου ἐπιστολήν. Σοὶ δ' ἀντιχαρίσαιό μοι πρὸς τοῦ φιλίου, τὸ περὶ τῶν ἐμῶν συγγραμμάτων. εἴη δὲ τοῦτο δεξιὸν μήνυμα. ἐῤῥωμένος μοι διαβιώοις ψυχῇ τε καὶ σώματι ἀνδρῶν σοφώτατέ μοι καὶ προσφιλέστατε.

Μάξιμος ταπεινὸς Κυθήρων ἐπίσκοπος Σαμουήλῳ τῷ ὁσιωτάτῳ καὶ σοφωτάτῳ εὖ . πράττειν.

Λόγοις λόγων ἀντιθηρῶμαι παρὰ τοῦ λόγοις ἐντρυφῶντος δικηνεκῶς, ὡς εἴη γε καὶ τῆς τούτων ἐπικαρπίας, ἵν' ἅμα καὶ τρυφῴη καὶ τελεοῖτο τὰ κρείττονα. εἰ δὲ μή μοι ἄλλως ἡ θήρα διαπεπόνηται, αὐτὸς δείξεις, ᾧ φέρων τὴν ἐπὶ τούτοις πᾶσαν ἐλπίδα ἀνέθηκα. δείξεις δ' ἄρα φιλῶν εἰ μόνον καὶ βούλοιο, ὡς οὐχ ἥκει ἡμῖν εἰς ἀποτυχίαν τὰ τῆς σπουδῆς. ἀλλὰ καὶ μάλα ἀναπόκλητα, ὧν ἡμεῖς περὶ τὴν ἀτυχίαν καλινδούμεθα. θηρώδεις τι ἀπόζει καὶ τὰ γραφόμενα

φροντίδες, καὶ νόσοι ἀπροσδόκητοι περιήντλουν μου τὴν ψυχήν. ἀλλὰ γὰρ ἵνα μὴ πάντη ἀχαριστίαν ὀφλήσω, ἰδού σοι τὰ μικρὰ ταῦτα καὶ ἀκαλλῆ, αὐτοσχέδια πέμψαι προῄρημαι, ὥσπερ ἀπαρχάς τινας τῆς μεταξὺ νῷν συνισταμένης φιλίας, ἧς ἐγὼ τὸν σοφώτατον, κἀμοὶ ἐν τοῖς μάλιστα αἰδέσιμον Ἑσχέλιον περὶ αἴτιον τίθεμαι. προσειρήσθον δὴ καὶ ἄμφω παρ' ἐμοῦ. κἀκεῖνος μὲν ἀντὶ τῆς τηλικαύτης χάριτος τὰς οἱ προσηκούσας ἀποίσεται ἀντεκτίσεις ἐκ τῶν ἐνόντων ἡμῖν. σὺ δὲ μὴ καταοκνοίης καὶ ἐπιστέλλειν ἡμῖν, καὶ προστάττειν τὰ πρὸς τῆς ἡμετέρας δυνάμεως. καὶ γὰρ ἕξεις παρ' ἡμῶν, εἰ καὶ μὴ τὰ τῇ σῇ ἐποφειλόμενα μεγαλοπρεπείᾳ, καὶ εἰλικρινεῖ περὶ ἡμᾶς ἐννοίᾳ, τὰ γοῦν ἡμῖν δυνατά. τέως νῦν τῳ γράφω καλάμῳ. μετ' οὐ πολὺ δὲ ἐλευθεριωτέρας λαβόμενος ἀφορμῆς, καὶ μακροτέροις τοῖς πρὸς σὲ χρήσομαι γράμμασιν. ἐν δὲ τῷ μεταξὺ ἑκάτερον τὸν ἄνθρωπον ὑγιαίνοις μοι, καὶ τῷ σοφωτάτῳ Μάρκον τε Βέλσερον, καὶ τὸν ἡμέτερον Ἑσχέλιον, ὡς παρ' ἐμοῦ προσείπε. Ἐνετίησιν, Αὐγούστου α' φθίνοντος κατὰ τὸ ,αφϟθ' ἔτος σωτήριον.

ΜΑΞΙΜΟΣ Ὁ ΜΑΡΓΟΥΝΙΟΣ.

ταπεινὸς Κυθήρων ἐπίσκοπος Δαβίδῳ τῷ Ἑσχελίῳ ἀνδρὶ σοφωτάτῳ εὖ πράττειν.

Τὸ ἐπίχαρί σου τῶν τρόπων καὶ τὸ πρὸς πᾶν ἀγαθὸν ἐπιρρεπὲς, οἷόν τι θέλγητρον ἐναποτίθησί μου τῇ ψυχῇ καὶ καταναγκάζει μου τὸ πρὸς τὰς σὰς ἐπιταγὰς ἀπειθές. καὶ γὰρ εἰ καὶ τοῦ χρυσοῤῥήμονος λόγοι, οἱ κατὰ Ἰουδαίων ἄριστα ἐξυφανθέντες, ἀρίστης καὶ παρά σου τῆς ἐκδόσεως ἔτυχον, ἀλλ' ἵνα μὴ δόξω τῶν σῶν λόγων ὀλίγον ποιεῖσθαι λόγον, τοὺς ἐκείνου διῆλθον λόγους. καὶ εὗρον μὲν ἁμαρτήματά τινα. ἀλλ'

μοι παρέχων τῆς τοιαύτης ὁρμῆς καὶ τοῖς ἔξωθεν ἐπιτάγμασι. χαίρω γὰρ ἐγὼ οὐδὲν ἧττον ἀνταγαπώμενος παρὰ τοιούτων σοφῶν ἀνδρῶν, ἢ τὰ δυνατὰ περιςαπλόμενος. Περὶ δὲ τῶν συντεθειμένων ἡμῖν ὡς ἐν παρέργῳ ἀνακρεοντείων ἀκριβῶς εἰς τὴν τῶν Λατίνων μεταφράσεως, τοῦτο καὶ μόνον ἐρῶ, ὅτι μεῖζον ἐναπέθηκέ μου τῇ ψυχῇ τὸ τοῦ περί σε ἔρωτος κέντρον, ἅτε δὴ εἰκὸς τεθηπότος πάνυ τὰ σά. οὕτω παραμετρεῖς καὶ ἴχνος τοῖς οἷς ἐγὼ ἐν ἐκείνοις διανενόημαι, καὶ τοιαύτῃ τῶν λέξεων εὐφραδίᾳ ἅμα καὶ οἰκειότητι, ὡς μικροῦ κινδυνεύειν δόξαι τισὶ, μὴ μετάφρασιν, ἀλλ᾽ αὐτουργίαν τινὰ (ἵν᾽ οὕτως εἴπω) γενέσθαι τὰ σά. Ταῦτά σοι παρ᾽ ἡμῶν βραχέα τε καὶ αὐτοσχέδια, οἷα δὴ προοίμι᾽ ἄττα τῆς περί σε ἡμετέρας στοργῆς, πλείοσι καὶ ἀντλημένων τόμοις νῦν ἐπὶ φροντίσιν. ἐπὶ σχολῆς δὲ, καὶ τοῦτο σὺν θεῷ, μετ᾽ οὐ πολὺ καὶ μακρότερα. σὺ δ᾽ ἐν τῷ μεταξὺ ἑκάτερόν μοι ὑγιαίνοις τὸν ἄνθρωπον, καὶ φιλοίης ἀντιφιλοῦντά σε τὰ μέγιστα. Ενετίηθεν, ͵αχʹ ἔτει τῆς ἐνσάρκου οἰκονομίας, Μαρτίου ε. ἱσταμένου.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἄλλη ἐπιστολή.

ΠΟλύ μοι τοῦ πρός σε φίλτρου τὸ αἴτιον ἐγγίνεται, Κόῤῥαδε λογιώτατε καὶ σοφώτατε, καὶ ὅτι σοφοῦ ἀνδρὸς φθάνομαι πρεσβύτῃ, καὶ ὅτι φιλέλλην, καὶ ὅτι (οὐδὲν γὰρ κωλύει τοῖς σοῖς χρήσασθαι ῥήμασι) φιλομαργυρίου, ὥστε με παρὰ ταῦτα ἀπηρτῆσθαί σου τῆς ψυχῆς, καὶ σφοδρὸν ἀνάπτειν τὸν ἔρωτα, καὶ δυσαποσπάστως ἔχειν σου τῆς τε μνήμης, καὶ τῆς περὶ ἐμὲ τηλικαύτης εὐνοίας. κἂν ἀνεπτεράσθην πολλάκις πρὸς σὲ, ἐξ οὗ τὰ χρυσᾶ σου ἀνὰ χεῖρας ἔλαβον γράμματα. κἂν ἐξεβιασάμην καὶ τὴν φύσιν αὐτὴν (καίτοιγε οὔτ᾽ αὐτὸ ἀργήν τε οὖσαν, καὶ πρὸς πᾶν ὅ, τι χρηστὸν ψυχρὰν ὅτι μάλιστα) εἰ μὴ ἔνθεν κἀκεῖθεν ἐπάλληλοί τε

φροντί-

γὰρ εἶχον οὐδὲν ἀλλότριον ἐπεισφέρειν τοῖς τοῦ Μαργουνίου νοήμασιν, ἀλλὰ τὸν νοῦν τοῦ πρωτοτύπου πως ἐναπομάξασθαι τῷ ἐκτυπώματι. Εἰκότως ἄρα καὶ εὐλόγως σοὶ ἀντιδωροῦμαι τούσδε τοὺς ὕμνους· οἷς τόγε ἐπ' ἐμοὶ, εὖ ποιῶν συζεύξειεν ἄν τις τὸν αὐτοῦ κόμματος, ὡς ἔπος εἰπεῖν, ποιημάτια τῶν ἐν ἁγίοις Κλήμεντος τοῦ Ἀλεξανδρέως, καὶ Γρηγορίου τοῦ Θεολόγου, καὶ Συνεσίου. ὧν ἐφαμίλλῳ γενομένῳ καὶ τῷ ἡμετέρῳ μέλει αἰὲν ἀοιδῷ ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν, βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπουμένῳ, ἐξ ἧς τὰ σεμνὰ βλαστάνει νοήματα. Δέομαι δέ σου καὶ τοῦτο, ἵνα τῆς εἰς ἡμᾶς εὐνοίας τὸν ἐπισκόπου ἀξιώσῃς γενέσθαι περαίπος, ὃν γεραίρω καὶ σέβομαι τῷ ἐμῷ θυμῷ ἐν τοῖς μάλιστα, καὶ περὶ πλείστου ποιοῦμαι τὸ γνώριμον αὐτῷ γεγονέναι. οἶσθα δὲ καὶ τὸ τοῦ Θεοφράστου, ὅτι εἰ κοινὰ τὰ τῶν φίλων, αὐτούς γε μάλιστα τοὺς φίλους προσήκει εἶναι κοινούς. ἔρρωσο.

ΜΑΞΙΜΟΣ Ὁ ΜΑΡΓΟΥΝΙΟΣ,

Ταπεινὸς Κυθήρων ἐπίσκοπος, Κοῤῥάδῳ τῷ Ριττερσουσίῳ, σοφωτάτῳ ἀνδρί.

εὖ πράττειν.

Καὶ τὸ περὶ ἐμέ σου οὐκ ἀγεννὲς, καί μοι τὰ μέγιστα κεχαρισμένον φίλτρον, σοφώτατε Ριττερσούσιε, καὶ τὸ κόσμιόν σου τῶν ἠθῶν, ναὶ δὴ καὶ τὸ περὶ τὰ καλὰ τῶν μαθημάτων γενναῖον, ἐκ τῆς γενομένης σοι προσφωνητικῆς ἐπιστολῆς τῶν ἡμετέρων Ἀνακρεοντείων ὕμνων πρὸς τὸν κοινὸν τῶν φίλον τὸν σοφώτατον Ἑσχέλιον, καὶ μάλιστα ἐξ ὄνυχος φασὶν ἐπέγνων τὸν λέοντα. ἀνθ' ὧν οὔτοιγε σμικρολόγως, οὐδὲ μὴν γλίσχρως ἀντεξισοῦν τὰ παρ' ἐμοῦ τοῖς σοῖς, ὅσα γε εἰς χάριν ἀγάπης ἀνήκει εἰλικρινοῦς, εὖ ἴσθι διεγερθήσομαι, εἰ μόνον αὐτὸς εἴης, κἀν τούτῳ χαριζόμενος, ὁ τὰς ἀφορμάς

ΚΟΡΡΑΔΟΣ Ὁ ΡΙΤΤΕΡΣΟΥΣΙΟΣ

Δαβίδῃ τῷ Ἐσχελίῳ εὖ πράττειν.

Πολλῶν μὲν καὶ ἄλλων ἕνεκα, λογιώτατε καὶ φίλτατέ μοι ἀνδρῶν Ἐσχέλιε, ἐν τῷ παρῳχημένῳ θέρει ἀσπασίως παραγενόμενον σοί τε καὶ ἄλλοις ἐν τῇ Αὐγούστῃ φίλοις, ὧν τὰ πρωτεῖα φέρει ἀνὴρ ἀξίᾳ διαπρέπων Μάρκος ὁ Βελσῆρος, φιλοφρονητικῶς μάλα καὶ εὐνοϊκῶς οὐχ ἧττον δημοσίως ἢ ἰδίᾳ παρ' ὑμῶν ξενισθεὶς ὑμῖν τε ἡδέως συνδημερεύσας· μάλιστα δ' ἐμαυτὸν εὐδαιμονίζω τῶν ξενίων, ὧν περ ἄρα σοῦ ἐδωρήθην οἴκαδε ἐπανερχόμενος, σοί τε χαίρειν φράζων. λέγω δηλονότι τοὺς τοῦ θεοφιλεστάτου καὶ ἐλλογιμωτάτου ἐπισκόπου Μαξίμου τοῦ Μαργουνίου ἀνακρεοντείους ἱερωτάτους ὕμνους, οὕς μοι ἐπὶ τοιούτῳ τινὶ συνθήματι ἐδωρήσω, ὥστε ῥωμαϊστὶ μεταφρασθέντας τῇ ἡμετέρᾳ σπουδῇ ἐκτυπῶσαί τε καὶ ἐκδοῦναι. αὐτὸ γὰρ τοῦτο οὐκ ἄκοντος ἔφης γενήσεσθαι τοῦ ξυγγραφέως, μᾶλλον δὲ καὶ περιχαρῶς προσδεξόμενον τὸν ἡμέτερον περὶ ταῦτα πόνον, τήν τε φιλόθεον σπουδὴν φιλικῶς ἀσπασόμενον. Ἐξετέλεσα τοίνυν, ὅσον δυνατός, ὅπερ ὑπεσχόμην, αὐτῷ. μὲν τῷ μέτρῳ οὐ λαῖον ἐστί (πολλοῦ γε καὶ δεῖ) ἀλλὰ φοβοῦμαι μή πως πολὺ χεῖρον μεταφράσας τύχω τοὺς θειοτάτους καὶ εὐσεβεστάτους ὕμνους, ὧν τὸ ὑψηλὸν καὶ πολύνουν καὶ τὸ τερπνὸν εἰ ἐφικέσθαι ἡ ἡμετέρα μετάφρασις οὐκ ἐδυνήθη, τί θαῦμα; ἵνα γὰρ μὴ εἴπω τὸ σεμνὸν καὶ θεοπρεπὲς καὶ κόσμιον τῆς λέξεως, ᾧ κέχρηται σύνηθες τῷ Μαργουνίῳ, ἀνδρὶ τῶν νῦν Ἑλλήνων, ὧν οἶδα μὲν, σοφωτάτῳ, εἴτε πεζόν τι εἴτε καὶ ἔμμετρον ξυγγράφοντι. τίς οὐκ οἶδεν, ὅσον μεταξὺ τῶν γλωσσῶν ἑλληνικῆς τε καὶ ῥωμαϊκῆς, καὶ ὡς ταύτῃ ἀνέφικτός ἐστιν ἐκείνης ἡ δεξιότης, τό, τε πολυστρεφὲς καὶ πολύμορφον; Ἀλλ' ἔστω δὴ ὁποία περ καὶ ἔστιν ἡ μετάφρασις ἥδε, οὐκ ἀσαφὲς εὖ οἶδ' ὅτι δόξει σοί τε καὶ ἄλλοις, οὐδ' ἄκυρος πάνυ. διὰ σπουδῆς

γὰρ

ἐφετῶν, κίνησίν τε καὶ ἔφεσιν· ἄλλως τε ἐν οἷς ὁ θεῖος οὗτος ἀνὴρ μυστικωτέρων ἐφάπτεται ἐννοιῶν, καὶ τὸ τῶν ἱερῶν λόγων ὥσπερ τι περικάλυμμα ὑπανοίγων σοφώτατα, ἐνδότατον τῆς θεωρίας τὸ βάθος ἀναμοχλεύει τε καὶ διερευνᾷ, καὶ τοῦτο τοῖς τούτων μύσταις καὶ ἀκροαταῖς ἐξαπλοῖ πρὸς ἀκρίβειαν. κἀν τῇ περὶ τὸν βίον τοῦ Μωσέως δὲ πραγματείᾳ, οὕτως ἀνώτερος γέγονεν ἑαυτοῦ, τῷ μυστικωτέρῳ τε καὶ ἀναγωγικωτέρῳ τῶν τρόπων τῆς θεωρίας ὑψώματι, ὥστε μηδ' ὁντιναοῦν, τῶν μὴ ἁπλῶς τε καὶ ἀπερισκέπτως ταύτῃ ἐγκυπτόντων, μὴ διὰ θαύματος ἄγειν τὸν ἄνδρα πολλοῦ, καὶ περιτεθηπέναι τὸ ὑψηλὸν αὐτοῦ καὶ οὐράνιον τοῦ φρονήματος. ἐν ταύτῃ γὰρ ὥσπερ τινὰ περικαλλῆ εἰκόνα προτεθεὶς τὸν τοῦ Μωσέως βίον τοῖς κατὰ Χριστὸν βιοῦν αἱρουμένοις, ἐκεῖθεν αὐτοὺς τῶν παραδειγμάτων τὰ κάλλιστα ἀναμάττεσθαι, καὶ τὰ πρὸς τὴν τοῦ τοιούτου τέλους ἀπόπλησιν ὅτι μάλιστα συντελοῦντα, δι' ὧν παρατίθησι παραγγελιῶν ὑποθηκῶν προτρεπτικώτατα προτρέπεται. Τῆς αὐτῆς δὴ ἔχεται χρείας καὶ τὸ πρὸς Ἁρμόνιον περὶ τοῦ τί τὸ τοῦ χριστιανισμοῦ ἐπάγγελμα συνταγμάτιον· πρὸς δὲ καὶ ἄλλο, τὸ περὶ τελειότητος, καὶ ὁποῖον εἶναι χρὴ τὸν χριστιανόν· ἐν ᾧ τῶν παρὰ τῷ μακαρίῳ Παύλῳ κειμένων τοῦ Χριστοῦ ὀνομάτων τὴν φύσιν παγκάλως διερμηνεύων, πρὸς ταῦτα ὥσπερ πρὸς κανόνα τινὰ ἀπευθύνεσθαί τε καὶ ἐφαρμόττεσθαι δεῖν τὴν τοῦ χριστιανοῦ πολιτείαν ἀποδείκνυσι, καὶ τῇ τούτων ἐπὶ τῶν ἔργων ἀναδείξει τὸ τοὔνομα τοῦτο ἀληθῶς καλούμενον χαρακτηρίζεσθαι. Τὸ μὲν οὖν χρήσιμον τῶν τοιούτων συγγραμμάτων ἴσον, καὶ ἐξ αὐτῆς εὐθὺς τῆς τούτων ἐπιγραφῆς σαφῶς παρίσταται· ὅπως δ' ἂν ἕκαστος πρὸς τελείωσιν τὴν κατὰ Χριστὸν ἀπαρτίζοιτο, καὶ τὰ καθ' ἑαυτὸν πρὸς ἐκεῖνον διακριβοίη, πρᾶγμα τῷ ὄντι πᾶσι χριστιανοῖς ἀξιέραστον, ἀκριβῶς εἴσεται, καὶ τουτωνὶ τῶν συγγραμμάτων ἀναγνώσει ἐπιβαλὼν ἐπιμελέστερον. ἔρρωσθε ἐν Χριστῷ Σωτῆρι.

εἶναι ὡμολογήκαμεν. καὶ σοὶ μὲν ἔσται τὸ προστάττειν ἡμᾶς ἐφ' οἷς ἂν σοὶ καθυπουργοίημεν. ἡμέτερον δὲ τὸ ἐκ παρασκευῆς ἀεὶ εἶναι πρὸς τὴν τῶν προσταττομένων ἐξυπηρέτησιν. καὶ εἴη σε οὕτω πρὸς ἡμᾶς διατεθῆναι κἀν τούτοις τοῦ λοιποῦ, ἐν μηδενὶ ἡμῶν φειδόμενον. τὸ γὰρ ἡμᾶς ἐξισχύειν πρὸς τὸ σοὶ ἐφιέμενον, ἴσον ἂν γένοιτο, ὥσπερ ἂν εἰ καὶ ἡμῖν αὐτοῖς πᾶν ὅ,τι καταθύμιον πορίζοιμεθα. οὕτως οὖν ἔχοις πρὸς τὸν λόγον αὐτῶν πρὸς ἡμᾶς. καὶ εἴ τι καὶ ἡμῖν οἶδας χαρίεν ἐκπληρώσεις, ὡς ἂν καὶ ταύτῃ ἐκ τοῦ περιόντος σοὶ ἐποφείλοιμεν. εἰ γὰρ μή σοι ἄλλα τῶν κατ' ἀξίαν παρ' ἡμῖν περιγένοιτο, τὸ γοῦν ἐπτερῶσθαι ἡμᾶς πρὸς τὰ κατὰ δύναμιν πάντῃ καὶ πάντως οὐκ ἀγνοήσεις, καὶ οὐδὲν ἂν εἶναι πρὸς τοῦτο τὸ ἐμποδὼν γενησόμενον. ἐρρωμένος μοι διαβιῴης ἀνδρῶν λογιώτατε ἅμα καὶ φιλικώτατε. καί με ἀμοιβαίοις γράμμασι σοῖς καταγλαΐζων μὴ παύοις, ναὶ πρὸς τῶν λόγων αὐτῶν Ἑλλήνιε. ὁ Κωνσταντῖνος ὁ παρ' ἐμοὶ προσαγορεύει τὴν σὴν σεμνοπρέπειαν. Ἐνετίηθεν Ποσειδεῶνος, ὀγδόῃ ἐπὶ δεκάτῃ, κατὰ τὸ αφϟϛ. ἔτος τὸ σωτήριον.

ΜΑΞΙΜΟΣ Ὁ ΜΑΡΓΟΥΝΙΟΣ

ταπεινὸς Κυθήρων ἐπίσκοπος, τοῖς περὶ τὴν ἱερὰν ἐσχολακόσι φιλοσοφίαν, σωτηρίαν.

Τῷ μὲν ἱερῷ Γρηγορίῳ τῷ Νύσσης πολλὰ καὶ ἄλλα διεπονήθη συγγράμματα, τῷ τε κάλλει τῆς φράσεως, καὶ τῇ τῆς λέξεως ποικιλίᾳ, καὶ τῷ τῶν νοημάτων ὕψει, καὶ δὴ καὶ τῷ τῆς ἀποδείξεως ἐναγώγῳ, πολὺν τὸν ἔρωτα ὑπεκκαίοντα, καὶ τὸ ἔμφυτον τῆς ψυχῆς ἀνασκαλεύοντα πῦρ τῶν κατὰ θεὸν πολιτευομένων ἀνδρῶν, καὶ τῆς ἱερᾶς φιλοσοφίας ἀντιχομένων σφοδρότατα, πρὸς τὸν τοῦ ὄντως ἐραστοῦ, καὶ ἄκρου τῶν ἐφετῶν,

οὖν (ὃ μὴ γένοιτο) τοὐμὸν μὲν μέρος τάχ' ἂν εἴη συγγνώμης ἄξιον, ὅτι δὴ μάλιστα φιλοῦμεν, καὶ ὅτι ὅσον ἠδυνάμεθα, τοῦτο δὴ καὶ πεπράχαμεν. αὐτὸς δὲ οὐ μὲν εἶς ἀναίτιος, ὁ καὶ πρὸς τὰ ὑπὲρ δύναμιν καταναγκάζων ἡμᾶς. Ἀμέλει τοι τουτῳῒ τῷ τρόπῳ, ἢ συναλείψῃ τοῦ λοιποῦ τὸ πρὸς ἡμᾶς σοῦ περὶ τὰ τοιαῦτα ὁρμῆς, τὸ ἀνεπιτήδειον ἐπιγνούς. ἢ πάντες μὲν ἡμᾶς τὸ ὧν σοι πειθαρχοῦντες ἐξαμαρτάνομεν, ἀναιτίους καλῶς κρίναντες θήσουσι. σοὶ δὲ δεόντως τὰς τούτων αἰτίας προστρίψουσιν. εἴη μέντοι, ἀντὶ πάντων καὶ ἡμᾶς πειθαρχεῖν ἀπρεπῶς, καί σε ἔξω αἰτίας μένειν προστάττοντα. τοῦτο δ' οὖν σαφῶς ἴσθι, ὅτι κἂν προσεθέμην τι πλέον τῇ ἐπιστολῇ, εἴ μοι παρῆσαν καὶ τῷ συγγράμματι. ἀγαπήσεις δ' ἄρα καὶ οἷς τούτοιν ἀποροῦντες, σοὶ ἠυπορήκαμεν. ἔρρωμένος μοι διαβιώης ἀνδρῶν προσφιλέστατε, καὶ σοφώτατε. Ἐνετίηθεν, Ἐλαφηβολιῶνος δ'. ἱσταμένου κατὰ τὸ αφϟϛ. ἔτος τὸ σωτήριον.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Τὸ τοῦ ἱεροῦ Νύσσης ἱερώτατον σύγγραμμα, ἅτε δὴ μυστικῶν θεωρημάτων ἀνάπλεων, καὶ τοῖς κατ' ἀρετὴν βιοῦν ἐθελουσίοις τῆς μακαριότητος εἰσηγητικὸν, τῷ ταύτην ὅση δύναμις μετιόντι, καὶ ἄλλοις πρὸς ταύτην ἱκανῷ προκειμένῳ ὑποδείγματι, διαπέμπεταί σοι παρ' ἡμῶν, φιλικωτάτη ψυχὴ Ἐξέλιε, μεγάλα μὲν μικρῶν ἄγαν ἀνταλλαττομένων, εἴ τις ἀποβλέπειν ἐθέλοι πρὸς τὰ ὧν σοι ὑπόχρεω καθεστήκαμεν. πλὴν ὁποῖα δ' ἂν ταῦτα καὶ εἶεν, ἐκ φιλόφρονός τε καὶ εὐγνώμονος ἥκοντά σοι ψυχῆς, καὶ τοῦτο μόνον παραδεικνύντα, ὅτι πρὸς τὴν ὀφειλομένην σοι πρὸς ἀξίαν ἀντίδοσιν ἢ μᾶλλον εἰπεῖν ἀπόδοσιν, οὐκ ἀγνώμονες ἡμεῖς, ἀλλ' ἀδύνατοι. ἀλλὰ γὰρ καὶ οὕτως ὀφείλεται σοὶ οὐδὲν ἧττον

ΜΑΞΙΜΟΣ Ὁ ΜΑΡΓΟΥΝΙΟΣ

Δαυίδῃ τῷ Ἐχελίῳ, ἀνδρὶ σοφωτάτῳ, εὖ πράττειν.

Καὶ βασιλεῖ ποτὲ ὕδωρ προσενεχθὲν, οὐ πρὸς τὸ τοῦ δώρου μικροπρεπὲς, ἀλλὰ πρὸς τὸ τοῦ δωρουμένου πρόθυμον ἀποβλέψαντι, οὐκ ἄχαρι πάντως τὸ δῶρον ἔδοξε. καὶ σοὶ πρὸς τοῦτ' αὐτὸ, ἐν οἷς σε φιλοδωρούμεθα ἀφορῶντι (οἷς γὰρ δυνάμεθα τοῦτο πράττομεν, μὴ ἐξὸν οἷς ἂν προελοίμεθα) οὔ τοι γε τὰ παρ' ἡμῶν, ἄλλως τε καὶ σου τοὺς τοιαύτας ἡμῖν ὑπεκκαύσαντος ὕλας, ἀπόβλητα. εἰ δὲ μὴ, διαμύνε, κἂν τοῖς πρὸς ἡμᾶς σου γράμμασι τὰ τῆς προαιρέσεως διαχάραττε, καὶ σοι οὐ διενοχλήσομεν τοῦ λοιποῦ, τῶν ὑψηλοτέρων σε τάχα θεωρημάτων, διὰ τῶν χαμερπεστέρων τούτων καθέλκοντες. μήποτε δὲ καὶ Τεύκρῳ ποτὲ στρατευομένῳ, τῇ τῆς ἀσπίδος προβολῇ Αἴας οὐκ ἀσύμφορος γέγονεν. οὔκουν οὐδὲ Μάξιμος ἴσως, ἔν τισι γοῦν, Ἐχελίῳ ἀλυσιτελὴς εἰς τὰ δόξαντα. Δέξαι οὖν φιλοφρόνως καὶ τουτὶ παρ' ἡμῶν, καὶ ἀκριβῶς τῇ παρὰ σοὶ βασάνῳ προσάγαγε. κἂν μέν σοι γνήσιον δόξῃ τὸ κύημα, καὶ ἥλιον ἴδοι ποτὲ καταυγάζοντα. εἰ δ' οὖν, ἵνα μὴ καὶ τὸν νοῦν καταργῇ, Ἡφαίστῳ παραδοθήτω παρανάλωμα. ἔρρωσο ἀνδρῶν σοφώτατέ μοι καὶ προσφιλέστατε. Ἐνετίησι, Μαιμακτηριῶνος πρώτῃ ἐπὶ δεκάτῃ, κατὰ τὸ, αφζ' ἔτος τὸ σωτήριον.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ὑπεῖξα σου τῷ προστάγματι. καὶ εἰ μὲν ὡς ἔδει, καὶ ὡς ὑπόθεσις. κοινὸν μὲν ἀμφοῖν τὸ τῆς ψυχῆς ἔσται εὐφρόσυνον· σοὶ δ' εἰκότως καὶ τὸ πλέον, ἅτε δὴ αἰτίῳ γενομένῳ τοῦ ὁποιουδήτινος ἐγχειρήματος, σοφώτατέ μοι Ἐχέλιε. εἰ δ'

ἦν.

νος τὸ ἀπὸ τῶν ἔξωθεν θεωρηθεῖσα, καλατεχρολόγηταί τε ἅμα καὶ ἐς δύναμιν διηκρίβωται. Ἐπεὶ δὲ τὸ τῇ καθ' ἡμᾶς ἱερᾷ ἐκκλησίᾳ, ταυτὸ δ' εἰπεῖν, τῷ κρείττονί τε καὶ τιμιωτέρῳ τοῦ ὅλου μέρει, ἐπεισφρῆσαι ἤδη κακὸν, τῇ παντοδυνάμῳ τοῦ θείου προνοίᾳ τε καὶ θελήσει, οἷόν τινι θεοπρεπεῖ καὶ πανσόφῳ ὀργάνῳ, τῇ σῇ χρησαμένου ἐμμελείᾳ, ἀρχὴν ἤδη τοῦ τάττεσθαι εἴληφε, πέπεισμαι δ' ὅτι καὶ ἐς τὸ κρεῖττον ὁδῷ βαδίζον ταχθήσεται, ἄγε δὴ συνυπούργησόν τι ἐκείνῳ πρὸς τοῦτ' αὐτὸ καὶ εἰς τὴν τῆς γινομένης ἡμῖν ἐπηρείας τε καὶ διαβολῆς κατάλυσιν, πρὸς τὴν ἀσεβείας αὐτῆς, παναγιώτατε δέσποτα. καὶ γὰρ εὖ οἶδ' ὅτι ἐκεῖνο καὶ πάλαι καὶ πάνυ πρὸς τοῦτο νένευκε, καὶ συνεργὸν δ' ὅμως καί σου τὴν ἱερὰν χεῖρα ἐπιζητεῖ πρὸς τὴν τοῦ ἔργου ἐκπλήρωσιν, εἴτε συνεκδικουμένων ἡμᾶς, εἴτε καὶ συμφιλανθρωπευομένων. καὶ γὰρ δέον καὶ ἡμᾶς αὐτοὺς τοιούτους τοῖς πεπλημμεληκόσι παρέχειν, οἷον καὶ πρὸς ἡμᾶς γίνεσθαι τὸ θεῖον πλημμελοῦντας εὐχόμεθα, καὶ, συλλήβδην εἰπεῖν, συντάττουσάν τε τὸ πᾶν καὶ συνδιευθύνουσαν. καὶ γὰρ ἤδη γέγονεν, ὡς μὴ ὤφελε, τὸ κακόν. τάττει δὲ τοῦτο θεὸς μυστικώτερον, καὶ ἡ τὴν ἡμετέραν λέληθεν αἴσθησιν. πλὴν ἀλλὰ καὶ σὲ πρὸς τοὔργον ἐπικαλεῖται, καὶ τὴν εἰς τοὐμφανὲς ἀπαιτεῖ τῆς βελτιώσεως ἔνδειξιν, ἵνα μὴ γαγγραίνης τρόπον ὑφέρπον ἐκεῖνο, τὰ καίρια τῶν ψυχῶν νεμόμενον, ἐπιβόσκηται, ἀλλ' ἐφ' ὅσον ἐπομβρίως γέγονεν, ἢ μᾶλλον εἰπεῖν, ἄνωθεν γίνεσθαι παρακεχώρηται, τοῦτο δὴ καὶ ἐπὶ τῶν ἔργων αὐτῶν εὖ ἀποδειχθῇ. καὶ γὰρ πάντη καὶ πάντως εἰς τοῦτο τελευτῆσαι ἐπάναγκες. ὅσῳ δὲ τάχιον ἡ ἱερά σου χεὶρ συνυπουργήσει τῷ θείῳ, τοσούτῳ τῷ ἄριστα διοικοῦντι καὶ συμφορώτατα τὰ καθ' ἡμᾶς τάττοντι, καὶ εὐαρεστότερον γενήσεται. Ἐνετίησι, Μεταγειτνιῶνος τρίτη ἐπὶ δεκάτῃ, κατὰ τὸ, αφζ ἔτος τῆς ἐνσάρκου τοῦ σωτῆρος ἡμῶν οἰκονομίας:

τάχα ἐπιφέροιντο, ἀπομάσσουσί τι καὶ ἐξαλείφειν παντάπασιν, ἢ πρὸς τὸ γυμνάζειν τε καὶ δοκιμάζειν τὴν σφῶν ἀρετὴν, ἢ καὶ πρὸς τὸ, τὴν τοῦ παρόντος βίου ἀποδεικνύειν οὐδένειαν. οὕτω δὴ κἂν τοῖς ἐκλεκτοῖς αὐτοῦ τὰ πάντα εἰς ἀγαθὸν συνεργεῖν, ὁ θεὸς αἴτιος γίνεται. ὥστε καὶ εἴ τινες αὐτῶν τάχα που τοῦ ἀκριβοδικαίου ποτὲ καὶ ὁπωσοῦν παρατρέποιεν καὶ παρεκκλίνοιεν, καὶ τοῦτ' αὐτοῖς εἰς ἀγαθὸν ἀπαντᾶν ἀπεργάζεται. ἐντεῦθεν γὰρ καὶ ταπεινότεροι, καὶ ἐπιστημονικώτεροι εἰς τὸ μέλλον, καὶ ἵν' οὕτως εἴπω, περιβλεπτικώτεροι γίγνονται, καθὼς καὶ τὸ τοῦ Πέτρου παράδειγμα περιφανῶς παρίστησιν. Ἀλλὰ κἂν ἀδικήσῃ τὸν ἀγαθὸν ὁ φαῦλος, ἐξ ἀλογίας τινὸς, ἢ φθόνου, ἢ ἄλλου του τοιούτου πάθους παρωξυμμένος, ἐκεῖνος μὲν ὅλως οὐ κατὰ τάξιν χωρεῖ. ὁ δὲ θεὸς τὴν τῆς ἁμαρτίας ἀταξίαν, εἰς τάξιν ἄγει, οἷα δὴ ἄριστος τεχνίτης, πρὸς τὸ κοινὸν τῆς ἐργασίας εἰς ἀγαθὸν τῷ κακῷ χρησάμενος, ἐκκαθαίρων τοῦτο, καὶ συναρμόττειν οἰκονομῶν, καὶ ὅλως πρὸς τὸ ὅλον συντάττων. ὥστε τὸ γινόμενον ἀδίκημα, τῷ μὲν πράξαντι, κακὸν, καὶ ἀδίκημα, καὶ οὐκ ἀφεῖται τῆς αἰτίας ὁ δράσας, οὐδ' ἁπλῶς τὴν δίκην ἀποδιδράσκει. τῷ παθόντι δὲ, οὐ κακὸν, ἀλλὰ χρήσιμον, καὶ δι' ἃ τέως εἰρήκαμεν, καὶ ὅτι προσθήκην εὐδαιμονίας αὐτῷ τὸ πάθος προὐξένησε, καὶ εἰς τὸ συμφέρον τῷ κοινῷ συντάττεται. κἀκεῖνα δὲ καθόλου τὰ τῷ ἁμαρτάνειν τὸ οἰκεῖον ἀποβάλλειν πεφυκότα κάλλος, καὶ οὐδένα τρόπον καὶ αὐτὰ ὀρθῶς τεταγμένα, σὺν τῷ ὅλῳ ἀγαθὰ, μὴ εἶναι οὐ δύναται. ὁ γὰρ εἰς τὸ ἄριστον τὰς φύσεις δημιουργήσας, τοὺς ἁμαρτάνοντας δικαιότατα τάττων, καὶ τοῦτο διαπράττει, ὥστε εἰ καί τι δρῷτο ἀσχημοσύνης εἶδος μεθ' ἑαυτοῦ ἐπιφέρον, τῷ μέντοι τοῦ ὅλου κάλλει καὶ οὕτω καὶ αὐτὸ συντελεῖν. Οὕτω μὲν οὖν ἡμῖν καὶ διὰ ταῦτα ἡ τοῦ κακοῦ ἐν τοῖς οὖσιν οἷόν τις φαινομένη ὕπαρξις, οὐκ οἶδ' εἴτε καλῶς εἴτε καὶ ἄλλως, ἀλλ' οὖν ἀναγκαίως ὥσπερ ἐπὶ σχολῆς τι-

νος

ζόντως τὸ χωρίον ἐκεῖνο ὁ θεῖος διερμηνεύει ἀπόστολος, φημὶ δή, τό, Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. ὥσπερ γὰρ τῇ τῶν ἐναντίων ἐκείνων πρὸς ἄλληλα ἀντιθέσει, τὸ τοῦ λόγου κάλλος ἐπαποδίδοται, οὕτως οὐ ῥημάτων, ἀλλὰ πραγμάτων οἷον τινι ὁμιλίᾳ τῇ τῶν ἐναντίων ἀντιθέσει τὸ τοῦ αἰῶνος κάλλος συνυφαίνεται. καί τινα παναρμόνιον φθόγγον ἔκ τε τῶν ἀγαθῶν, καὶ τῶν μὴ τοιούτων εἰς τὴν τοῦ ὅλου ἁρμονίαν ὁ δημιουργὸς συντάττει καλῶς. οὐκοῦν τὸ τῆς θελήσεως μοχθηρὰν τὴν μὴ τὴν τῆς φύσεως τάξιν τηρῆσαι προελέσθαι, τοὺς τοῦ δικαίου θεοῦ νόμους, οὐ τὸ πᾶν τοῦτο κάλλιστα τέλοντος παρὰ τοῦτο διαπέφευγεν. ἄλλο γὰρ τὸ τὴν τάξιν τηρεῖν, καὶ ἄλλο τὸ ταύτῃ διαορατεῖσθαι· καὶ ὑπὸ νόμοις γίνεται πάντως ὁ τοὺς νόμους μὴ ἀσπαζόμενος. Ἡ μὲν οὖν τὸ πᾶν τοῦτο ἀρρήτοις προνοίας τρόποις διακυβερνῶσα τοῦ θεοῦ δύναμίς τε καὶ θέλησις, τὴν τοῦ οἰκείου ἔργου ἐν πᾶσι τοῖς τε ἀγαθοῖς καὶ τοῖς μὴ τοιούτοις ἰσχὺν ἐπιδείκνυσι· καὶ ἐν μὲν ἐκείνοις, διχῶς, ἵνα καὶ ὦσιν ἅμα, καὶ τεταγμένα διαμένωσιν· ἐν τούτοις δέ, μοναχῶς, ἐν οἷς οὐ τὸ εἶναι, ἀλλὰ τὸ τεταγμένως εἶναι ταῦτα ἐργάζεται. οὐδ' ἄκρως ὢν ἀγαθὸς ὁ θεός, κακόν τι τοῖς ἰδίοις ἐνυπάρχειν ἔργοις ἂν παρεχώρησεν, εἰ μὴ οὕτως ἰσχυρός τε ἅμα καὶ ἀγαθὸς ἦν, ὥς τε καὶ ἐκ τοῦ κακοῦ ἀγαθόν τι ἐργάζεσθαι. καί γε πολλῷ κρεῖττον ᾠήθη, ἐκ τῶν κακῶν ἀγαθόν τι προβάλλειν, ἢ μηδὲν εἶναι παραχωρῆσαι κακόν. οὐ μέντοι τὸ κακὸν διὰ τοῦτο ἐγένετο, ὡς ἂν συνταχθείη ἅπαξ. ἀλλ' ἐπειδὴ ἐγένετο, ὑπὸ τῆς θείας προνοίας συντάττεται. καὶ τοῦτο δὲ μεγίστη δήπου δύναμις, τὸ καὶ τοῖς κακοῖς χρῆσθαι καλῶς, καὶ τοῖς ἐξ ἡμῶν γινομένοις ἀμόρφοις, εἰς μορφὰς ἐπιτηδείους συνελεῖν δύνασθαι. Ἀλλὰ καὶ ἃ πάσχουσιν ὑπὸ τῶν φαύλων οἱ σπουδαῖοι, καὶ ταῦτα πάντας τούτους λυσιτελεῖ, ἢ πρὸς τὰς οἰκείας ἁμαρτίας, εἴ τινας

τάχα

σωφρόνως ὑποφαινομένοις, καὶ δὴ καὶ τῆς Πτολεμαΐδος ἐκεῖνον Συνέσιον, ἐν οἷς κατὰ Ἀνδρονίκου φέρεται τοῦ Βερενικέως. Ἡ δὲ τοῦ ἀοράτως ἐφεστῶτος τοιαύτη ἐνδοτέρα οἰκονομία τε καὶ διάθεσις, οὕτως ἀφανής τε καὶ κεκρυμμένη καθέστηκεν, ὡς καὶ αὐτὰς τὰς πονηρὰς θελήσεις, ἐν αἷς γίγνεται, λεληθέναι. αἳ τῷ οἰκείῳ καὶ μόνῳ αὐτεξουσίῳ ἄγεσθαι οἴονται, τῷ ἐκ προαιρέσεως ἑαυτὰς κινεῖσθαι καὶ ἀβιάστως αἰσθάνεσθαι. τῷ γὰρ μὴ ὠθεῖσθαι μηδ' ἀναγκάζεσθαι, τὸ ὅτι διϊθυμοῦνται, οὐδ' ἄλλως αἰσθάνονται, καὶ προηγουμένην τοῦ τάττεσθαι ἔχειν αἰτίαν ὅλως οὐκ ἴσασιν. Ὅτι δὲ οὐκ αἴτιος παρὰ τοῦτο τῶν κακῶν ὁ θεός, ἀλλ' οὕτω τάττει ταῦτα ἤδη γεγονότα, ἵνα κἀκ τούτων ἀγαθόν τι προέρχηται, ὧδέ πως ἄν τις σαφῶς παρεμφήνειε. φύσει ἀγαθός ἐστιν ὁ θεός, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα ἀγαθοπρεπῶς παραγαγοῦσα αἰτία. τοῦ οὖν εἶναι πᾶν ὅπερ ἐστί, καὶ τοῦ ἀγαθοῦ καὶ μόνον ἕνεκα εἶναι, αὐτός ἐστιν αἴτιος. τοῦ κακοῦ ἄρα οὐκ ἔστιν αἴτιος. καὶ διὰ τοῦτο καὶ αὐτὸς ἀγαθῶν ἐστι τὸ ἀκρότατον, ὑφ' οὗ κατ' οὐδὲν ἐλλείπειν, ἀγαθόν ἐστιν. ἐλλείπειν δέ, καὶ προφητικῶς εἰπεῖν, μακρύνειν ἑαυτοὺς ἀπ' αὐτοῦ, καὶ πάνυ κακόν. οὐκ ἔστι δὲ ἐλλείψεως αἴτιος, τουτέστι τῆς εἰς τὸ μὴ εἶναι ῥοπῆς, ὁ τοῦ εἶναι αἴτιος, ὁ πάντων τῶν ὄντων παραγωγεύς. τὰ γὰρ ὄντα, καθό ἐστι, ἀγαθά ἐστιν. Ἀλλ' ὥσπερ πασῶν τῶν ἀγαθῶν φύσεων ἄριστός ἐστι δημιουργός, οὕτω δὴ καὶ τῶν μοχθηρῶν θελήσεων διατάκτης δικαιότατος. ὥς τε κακῶς ἐκείνων τοῖς φυσικοῖς ἀγαθοῖς χρωμένων, καὶ ταῖς μοχθηραῖς τοῦτον καλῶς κεχρῆσθαι θελήσεσιν. οὐδὲ γὰρ οὐδένα τῶν ἀγγέλων ἢ τῶν ἀνθρώπων ἂν ἔπλασε, κακὸν ἔσεσθαι τοῦτον προεγνωκώς, εἰ μὴ ἐξ ἴσου προῄδει καὶ τίσιν ἀγαθῶν χρείαις τούτους ἂν ἐφαρμόσειε. καὶ οὕτω τὴν τῶν αἰώνων τάξιν ὥσπερ τι ἐναρμόνιον μέλος, καὶ τισιν ἀντιθέτοις κατακαλλύνειεν ᾄσμασιν. εἴη δ' ἂν ταῦτα, οἷοις ὅτι μάλιστα ἡδέως τε καὶ ἁρμο-

ζόντως

διδόναι, καὶ μάλιστα πιστευτέον. τῇ γὰρ φαύλῃ θελήσει, τὸ φαύλῃ εἶναι, ἐξ ἑαυτῆς ἐστιν. ἡ μέντοι τάξις, ἐκ θεοῦ, ἡ διὰ τοῦ θέλειν εἴτε πρὸς τοῦτο, εἴτε πρὸς ἄλλο ἐστίν. ἐν τῷ θέλειν οὖν καὶ κακία ἐστὶ, καθὸ ἐκ τῆς πονηρᾶς ἐστὶ θελήσεως. καὶ τάξις, καθὸ εἰς τοῦτο ἢ εἰς τοῦτο, ἐκ τοῦ οἰκονομοῦντός τε καὶ διατιθέντος ἐστί. καὶ ὃ πρὸς τοῦτο μᾶλλον ἢ πρὸς ἐκεῖνό ἐστιν, ἀγαθόν ἐστιν, ὅτι τάξις ἐστὶ, καὶ ἐκ τοῦ καλῶς διατιθεμένου ἐστί. δύναται δὲ διὰ τῆς οἰκείας κινήσεως ἡ κακὴ θέλησις φθείρεσθαι, ὅπερ αὐτῇ οὐκ ἄλλοθεν δίδοται, ἀλλ' αὐτὴ καθ' ἑαυτὴν ἔξω ἑαυτῆς διὰ τοῦ θέλειν φερομένη, ἵν' οὕτως εἴπω, καταχρηματίζεται, καί τις αὐτῇ λοιπὸν ὁδὸς διανοίγεται. ἐν ᾧ δὲ ἡ θέλει, ἐπινεύκτική τε καὶ ὅλως ἐπιῤῥεπής ἐστιν. εἰς φθορὰν, ἡ θεία θέλησις ἢ ἡ οἰκονομία κινεῖ πως αὐτήν. οὐ μέντοι καταναγκάζουσα, ἀλλὰ τοῦτο καὶ μόνον, παραχωροῦσα. καὶ οὔτοι γε τοῦ ταύτην φθείρεσθαι αἴτιος ὁ θεὸς, ἀλλὰ τοῦ, φθειρομένην ἤδη ὑφ' ἑαυτῆς, ταύτῃ παραχωρεῖν πάνσοφος διατάξεως. ὅθεν Ἄφετε αὐτὸν (τὸν Σεμεῒ δηλονότι) φησὶν ὁ Δαυὶδ, καταρᾶσθαί με, ὅτι εἶπεν αὐτῷ κύριος. καὶ Βασιλ. β.
ὁ Προφήτης, Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ κύριος κεφ. ις.
μυίαις, καὶ τὰ ἑξῆς. καὶ ἐν τῷ Ἰεζεκιὴλ, Καὶ ἰδοὺ ἐγὼ Ἡσαί. ζ
ἐπάγω ἐπὶ σὲ Σὸρ τὸν Ναβουχοδονόσορ, βασιλέα Βαβυλῶ- Ἰεζεκι-
νος. οὗτος τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ήλ. κς.
ἀνελεῖ, καὶ τὰ λοιπά. ἐν τούτοις οὖν πᾶσι δείκνυται ὁ θεὸς εἰς τὸ τὰ δίκαια ἑαυτοῦ κρίματα ἐκπληροῦν, τὰς μοχθηρὰς εἴτε τῶν ἀνθρώπων, εἴτε τῶν δαιμόνων θελήσεις, οἷς βούλεται τρόποις, εἴτε ἔνδοθεν, εἴτε καὶ ἔξωθεν, καὶ ἐπεγείρειν εἰς τὸ θέλειν, καὶ διϊθύνειν εἰς τὸ τελειοῦσθαι, καὶ τάττειν εἰς τὸ ὑφίστασθαι. ἐν οἷς πάντως τὸ ταύτας εἶναι, τοῦ θεοῦ οὐκ ἐστι. τὸ τάττεσθαι δὲ, καὶ μάλα. Τούτοις εὕροι τις ἂν ἔτι πλείστους τῶν διδασκάλων τῆς καθ' ἡμᾶς ἱερᾶς ἐκκλησίας

συνῳδὰ

ἀγαθόν. ὅπερ οὖν ἑκάστῳ ἀγαθὸν ἦν, τοῦτο ὁ θεὸς ἐνετείλατο, καὶ τὸ πᾶσι δὲ ὂν ἀγαθὸν, παρεχώρησεν, ὅτι καὶ μεῖζον τὸ τοῦ ὅλου ἦν ἀγαθὸν, ὅπερ κωλυθῆναι οὐκ ἔδει. Διὰ τοῦτο φημὶ, ὅπερ ἦν ἑκάστῳ ἀγαθὸν, προσέταξε, καὶ τῷ προστάξαι, τοῦτο θέλειν ἐσήμανε. καὶ οὐκ ἄλλό τι παρ' ἡμῶν ἀπαιτεῖται, εἰ μὴ τὸ πρὸς ἡμῶν ὂν, τουτέστιν, ἵνα καὶ ἀποδεχώμεθα τοῦτο, καὶ ποιῶμεν, καὶ ἀγαπῶμεν, ὥσπερ καὶ ὁ θεὸς τὸ ἡμέτερον ἀγαθὸν, ἵνα ὅμοιοι αὐτῷ γινώμεθα. καὶ ὅτε ἡμῖν τὸ ἡμῖν ἀγαθὸν προστάσσεται, ὅτι τοῦτο βούλεται ὁ θεὸς, ἡμῖν διασημαίνεται. οὔτε γίνεται, εἰ μὴ ὅπερ ἐκεῖνος γίνεσθαι ἐθέλει, εἴτε ποιοῖμεν ὃ προστάσσει, εἴτε καὶ μή. καὶ γὰρ καὶ εἰ ποιοῖμεν τὸ ἀγαθὸν, τοῦτο βούλεται ὁ θεὸς ὃ γέγονε, καὶ ἀγαθόν ἐστι. καὶ εἰ ποιοῖμεν τὸ κακὸν, οὐκ ἀποδέχεται μὲν τὸ γενόμενον, ὅτι πονηρόν ἐστι. βούλεται δὲ τὸ γεγονὸς, ὅτι ὃ γέγονεν, ἀγαθόν ἐστι. Δήλη ἄρα καθέστηκεν ἡ παντοδύναμος καὶ ἄκρα καὶ ἀσφαλὴς αὐτοῦ θέλησις. ἡ ἐν τῇ οἰκείᾳ εὐδοκίᾳ θεωρουμένη, τὰ δὲ κακὰ, διὰ τὰ ἀγαθὰ παραχωροῦσα. καὶ ἕπεται μετ' αὐτὴν ὥσπέρ τινα αὐτῆς σημεῖα, ἥ τε παραχώρησις αὐτοῦ, καὶ τὸ ἔργον, τὸ ἐν αὐτῇ δεικνύοντα, ὅτι ἐν αὐτοῖς ὁ αὐτός ἐστιν. ἐπισυνάπτονται δὲ, αἱ τε ἐντολαὶ, καὶ αἱ ἀπαγορεύσεις, αἵτινες οὐ τί ἂν εἴη τὸ ἐν τῇ ἄκρᾳ ἐκείνῃ θελήσει, ἵνα γένηται, διασημαίνουσιν, ἀλλ' ὅπερ ἂν κατ' εὐδοκίαν αὐτοῦ εἴη, εἰ γένοιτο. Ἀμέλει τοι ἡ μὲν τοῦ θεοῦ πολύτροπος πρόνοια, καθ' ἣν τὰ ἡμέτερα διοικεῖ, τὴν ἡμετέραν πάντως κατάληψιν ὑπερβέβηκέ τε καὶ διαπέφευγεν. Ὅτι δὲ ταῖς τε τῶν ἀνθρώπων ὁ θεὸς καὶ ταῖς τῶν δαιμόνων πονηραῖς θελήσεσιν εἰς ἐξυπηρέτησιν τῆς ἑαυτοῦ θελήσεως κέχρηται, πάντη που πρόδηλον, ὥστε καὶ ἐν ᾧ ἀπαρέσκει τὸ ὂν, τῷ κακὸν εἶναι, ἀρέσκειν ὅτι ἐστὶ, τῷ τεταγμένον εἶναι. τῶν γὰρ θελήσεων ταῖς φαύλαις οὐ φθορὰν τῷ θεῷ, ἀλλὰ τάξιν τινὰ

διδόναι,

ὅπερ ἀγαθὸν λέγεται, ἢ καθ' ἑαυτὸ ἀγαθόν ἐστιν, ἢ τῇ πρὸς ἕτερόν τι σχέσει τοῦτο λέγεται, τῷ ἄλλῳ τῷ δηλονότι εἶναι ἀγαθὸν, μὴ καθ' ἑαυτὸ ὂν ἀγαθόν. ἔστι δέ τι ἐξῃρημένον τὸ καὶ καθόλου ἀγαθὸν τὸ πᾶσι, καὶ πάντων ὂν ἀγαθόν. ὃ δὴ περὶ τοῦτο καὶ ἄκρον ἀγαθόν, ἢ αὐτό ἐστι τἀγαθόν. μέσην δὲ χώραν ἔχον ἀγαθὸν, ὃ καὶ αὐτὸ ἀγαθόν ἐστι, καὶ τῇ πρὸς ἕτερόν τι σχέσει τοιοῦτον. ἀόριστον δὲ ἀγαθὸν, καὶ παρωνύμως, τὸ πρὸς ἄλλο καὶ μόνον ἀγαθὸν ὄν. οὐ γὰρ ὅπερ ἐστὶν αὐτὸ, ἀγαθόν ἐστιν, ἀλλὰ τὸ ἐξ αὐτοῦ. εἰ γὰρ μὴ ἦν τό, ὅπερ ἀγαθὸν οὐκ ἔστιν, οὐκ ἂν ἐγίνετο ἐξ αὐτοῦ τὸ ὂν ἀγαθόν. οὐ μέν τοι διὰ τοῦτο αὐτὰ τὰ κακὰ χορηγεῖ τι ἀφ' ἑαυτῶν, ὡς ἀφ' ἑαυτῶν, τῷ ἐξ αὐτῶν εἶναί τι ἀγαθόν. ἀλλὰ μᾶλλον αὐτὰ τῷ χορηγοῦντί τε καὶ δωρουμένῳ δουλεύει, ὅτι οὐ δι' αὐτά ἐστιν, ἀλλὰ διὰ τὸν χορηγοῦντα τὸ ἐξ αὐτῶν. Ἡ μὲν οὖν θεία ἐντολὴ, διὰ τὸ, ᾧ προστάσσεται, ἀγαθὸν γίνεσθαι, ἀγαθόν ἐστιν ᾧ προστάσσεται. ἄλλως γὰρ ἂν μάτην ἡ ἐντολὴ ἐγίνετο, εἰ μὴ ᾧπερ ἐπροστάσσετο, ἀγαθὸν ἦν, ἄλλως τε καὶ παρὰ τοῦ ἀγαθοῦ προστατομένη. ἐνδέχεται μέν τοι τὸ τινὸς ἀγαθὸν ὂν, μὴ καὶ πρὸς πάντα ἀγαθὸν εἶναι. καὶ αὖθις, τὸ τινὸς κακὸν ὂν, διὰ τὸ, πᾶσιν ἐξ αὐτοῦ ἀγαθόν τι περιέρχεσθαι, πάντων εἶναι ἀγαθόν. καὶ οὕτω τὸ ἀγαθὸν ὂν, καὶ τινὶ ἀγαθὸν, ἔλαττον ἀγαθὸν εἶναι ἐνδέχεται τοῦ ὄντος κακοῦ, καὶ τινὶ κακοῦ, ὅ τι τοῦτο, μεῖζον ἐστὶν ἀγαθὸν, ᾗ πάντων ἀγαθὸν ἐστι. καὶ μεῖζον ἄρα ἀγαθόν ἐστιν, ἐκεῖνο εἶναι, ὑφ' οὗ μεῖζον πρόεισιν ἀγαθὸν, εἰ καί τινι ἐκεῖνο ἀγαθὸν οὐκ ἔστιν, ὅτι ἐν τῷ ὅλῳ ἀγαθόν ἐστιν. οὐκοῦν ἐν τῇ τοῦ ἐλάττονος ἀντισταθμήσει ἀγαθοῦ τὸ μεῖζον ὂν ἀγαθὸν, ὑπὸ τοῦ ἀρίστου ἔδει κωλυθῆναι. Φαμὲν δὲ ὅτι μεῖζόν ἐστιν ἀγαθὸν, τὸ ἐξ ἀγαθοῦ καὶ πονηροῦ, ἢ τὸ ἐκ μόνου τοῦ ἀγαθοῦ εἶναί τι ἀγαθόν. τὸ ἄρα τὰ κακὰ εἶναι, παραχωρηθῆναι ἐχρῆν, ἐπεὶ τὸ αὐτὰ εἶναι, ἀγαθὸν ἦν, ἐξ ὧν ἔμελλεν εἶναι ἀγαθόν.

ὁ ἄνθρωπος ἀγαθῇ τινὶ κινούμενος προαιρέσει, βούλεταί τι ὅπερ ὁ θεὸς οὐ βούλεται. ὥσπερ ἂν εἴ τις ἀγαθὸς υἱὸς, τὸν ἴδιον πατέρα ἐν τοῖς ζῶσιν εἶναι προέλοιτο, ὃν μέντοι τὸ χρεὼν ὑπηρετῆσαι ὁ θεὸς βούλεται. ἡ μὲν οὖν προηγουμένη καὶ πρώτη πάντων τῶν ὄντων αἰτία, ἡ τοῦ δημιουργοῦ ἐστὶ θέλησις. ἣν οὐδεμία περὶ αὐτῆς αἰτία κεκίνηκε, διὰ τὸ ἀΐδιον αὐτὴν εἶναι. οὔτε τις ἐπακολουθοῦσα ἐπιστηρίζει καὶ βεβαιοῖ, ὅτι ὑφ' ἑαυτῆς δικαία τε ὅτι μάλιστα πέφυκε, τὸ δι' αὐτὴν δίκαιον πᾶν ὅπερ ἐστὶ δίκαιον. ἐν γὰρ τῇ ἑαυτοῦ ἀϊδιότητι καὶ τὸ τῆς ἀϊδιότητος σημεῖον, ἡ αὐτοῦ θέλησίς ἐστι. Κυρίως μὲν οὖν καὶ ἀληθῶς καὶ προηγουμένως θέλησις λέγοιτ' ἂν τοῦ θεοῦ, ἡ ἐν αὐτῷ τε καὶ τῇ αὐτοῦ οὐσίᾳ ὑπάρχουσα, ἥτις ἁπλῆ τέ ἐστι, καὶ οὔτε τι πλῆθος, οὔτε μεταβολὴν ἐπιδέχεται, καὶ ἣν μὴ πληροῦσθαι, ἀδύνατόν ἐστι. περὶ ταύτης γοῦν

ψαλ. ρλδ. εἶπεν ὁ προφήτης, ὅτι Πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησε. καὶ ὁ μακάριος Παῦλος, Εὐλογητὸς ὁ θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ἑπομένη δὲ θέλησις θεοῦ λέγεται, ἥ τε ἐντολὴ, καὶ ἡ ἀπαγόρευσις, καὶ ἡ παραχώρησις, καὶ αὐτὸ τὸ ἔργον. καὶ διὰ τοῦτο πληθυντικῶς ἔσθ' ὅτε ἡ ἱερὰ γραφὴ θελήματα

ψαλ. ρι. θεοῦ ὀνομάζειν εἴωθεν. ὥσπερ ἐπειδὰν λέγῃ, Μεγάλα τὰ ἔργα κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. ταῦτα γὰρ κατά τινα τρόπον θέλησις θεοῦ λέγεται, διὰ τὸ, τὸ τοῦ θεοῦ πως ἐξηρτῆσθαι θελήσεως, καὶ ἐκείνης εἶναι σημεῖα, ἥτις μία τε καὶ ἀμετάβλητός ἐστιν. Ἀλλ' εἴποι τις ἂν, ἐρῶ ἐγὼ, εἰ τὸ πᾶν ὁ θεὸς οὕτως εἶναι ἠθέλησεν, ὥσπερ καὶ γέγονεν, ὅτι ἀγαθόν ἐστι, τίνος οὖν ἕνεκεν ὃ μὴ γέγονε πρὸς ἔταξέ τε καὶ ἐνετείλατο. καὶ ὃ γέγονεν, ἀπηγόρευσεν; ἀγαθοῦ πάντως ὄντος ἑκατέρου, τοῦ τε μὴ γενέσθαι φημὶ ὃ γέγονε, καὶ τοῦ γενέσθαι, ὃ γέγονεν; Ἀποκρινοῦμαι δ' αὖθις αὐτὸς ἐμαυτῷ κεὐστοχῶς τὴν τοῦ ἀγαθοῦ διαίρεσιν προστιθείς. πᾶν

νῦν οὐδὲν ἧττον ἐξ ἐπηρείας τε καὶ σκαιωρίας τινὸς ἐπιξυμβάσης ἀτυχίας τε καὶ κακώσεως. Καλὰ χρὴ οὖν ἐπὶ ποσὸν τοῖς τοῦ νοῦ προέχων θεωρήμασι, πῶς τε καὶ τίνα τρόπον τὰ κακὰ ἐν τοῖς οὖσιν ἐστὶ τὸ θεῖον βεβούληται ἐνενόουν, καὶ γὰρ ἐξ ἀξιώματος οἷόν τινος ὁμολογουμένου τε καὶ ἀναμφισβητήτου ὁρμώμενος, τὴν θείαν θέλησιν πρώτην καὶ ἀνωτάτην τῶν εἰδῶν πάντων, καὶ τῆς γνώσεως εἶναι αἰτίαν, καὶ μηδὲν γίγνεσθαι ὅλως, ὃ μὴ τῆς ἐνδοτέρας καὶ νοερᾶς ἐκείνης τοῦ πάντων βασιλέως αὐλῆς τὴν πρόσοδον ἔσχηκεν. ἔπειτα δὲ αἴτιον τῶν κακῶν αὐτὸν μὴ εἶναι καὶ μάλιστα καὶ διὰ πίστεως μυηθεὶς, καὶ διὰ λογισμῶν παιδευθεὶς, τίς ποτ᾽ ἄρα ἡ τοῦ κακοῦ αἰτία, διημφισβήτουν παρ᾽ ἐμαυτῷ. μόλις δὲ ἔνθεν κἀκεῖθεν διερευνῶν, εἰς ταύτην τέλος τὴν ἀνήχθην τὴν ἔννοιαν, ἣν καί σοι ἀνακοινῶσαι, δίκαιά τε καὶ τῷ κατ᾽ ἐμὲ καθήκοντι συμβαίνοντα πράττων, διέγνωκα. Τὴν γὰρ τοῦ θείου θέλησιν διηνεκῶς πληροῦσθαι παρ᾽ ἡμῶν, ἢ ἐφ᾽ ἡμῶν, ἔκ τινων ὥσπερ προεγνωσμένων συνεπέραινον. ἐκείνων μὲν, ἀγαθοεργούντων, καὶ τῷ θείῳ πειθαρχούντων θελήματι. οὕτω δὲ, τῆς ἀληθείας ποτὲ παρατρεπομένων τε καὶ ἁμαρτανόντων. καὶ αὐτὴν δὲ ταύτην τὴν θέλησιν, εἴς τε προηγουμένην τινὰ καὶ ἑπομένην διαιρετέον εἶναί μοι ἐδόκει. καὶ γὰρ οἰκείας τινὰς ἀγαθὰς θελήσεις ἐκπληροῦν τὸ θεῖον διὰ τῶν μοχθηρῶν τῶν πονηρῶν ἀνθρώπων θελήσεων ἀνεύρισκον. ὅπου γε διὰ τῶν σκληροτραχήλων Ἰουδαίων, ἵνα καὶ ἄνωθέν ποθεν τὴν τοῦ λόγου συνυφάνω ἀπόδειξιν, εὐδοκίᾳ τε καὶ θελήσει τοῦ ἀγαθοῦ καὶ ὑπεραγάθου πατρὸς εἰς θάνατον ὁ Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ὑπὲρ ἡμῶν παρεδίδοτο. ὅπερ ὑπέρμεγα ἀγαθὸν γενέσθαι, καὶ ἐξ ἄλλων πλειόνων ἀριδήλως παρίσταται, κἀκ τοῦ καὶ Πέτρον αὐτὸν, τό γε ἐς αὐτὸν ἧκον, τοῦτο κωλῦσαι ἑλόμενον, Σατανᾶν παρ᾽ ἐκείνου εἰκότως ἐπικεκλῆσθαι. Ἔστι γε μὴν ὅτε καὶ

ΕΠΙΣΤΟΛΑΙ ΕΛΛΗΝΩΝ
μεταγενεστέρων καὶ καθ' ἡμᾶς
ἠκμασάντων.

ΜΑΞΙΜΟΥ ΤΟΥ ΜΑΡΓΟΥΝΙΟΥ
ταπεινοῦ Κυθήρων ἐπισκόπου, Περὶ τοῦ, Τίνα τρόπον
ἐν τοῖς οὖσι παρακεχώρηται τὰ κακά, ὡς ἐν εἴδει ἐπιστολῆς, πρὸς τὸν παναγιώτατον Κωνσταντινουπόλεως Πατριάρχην
Κύριον Ἱερεμίαν:

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Ἐγὼ τὸ τοῦ νοῦ πτερὸν τῆς εἰς πρὸς τὴν ὕλην ἀρχῆθεν εἴληχε συναφείας, καὶ ἧς συμπέφυκέ πως, ὅσον ἐξισχύω ὑπαναπτερῶν, ἵνα μὴ τοῖς τῇδε ἐπὶ πολὺ παραμένον, τῇ πρὸς τὰ κάτω φορᾷ κατασύραιτο ἐλεεινῶς, καὶ καταβαπτίζοιτο, καὶ δυσανάγωγον τοῦ λοιποῦ πρός τε τὰ ἑαυτοῦ κάλλη γίγνοιτο, καὶ τῆς τἀγαθοῦ θεωρίας, ἥτις ἂν τάχα καὶ χωρεῖν, ἀπασχολοῖτο, πρὸς τοὺς τῆς θείας προνοίας ἔσθ' ὅτε λόγους ἀναπτερῶν, καὶ ὅσον θέμις ἀνακουφίζειν αὐτὸ κατεπείγομαι, παναγιώτατε δέσποτα. Ἐπεὶ δὲ τὰ πλείω ταύτης ἀπρόσιτα τοῖς πολλοῖς, ἄλλως τε καὶ οἷς οὔπω τῆς τῶν παθῶν ἰλύος ὁ τῆς ψυχῆς ὀφθαλμὸς ἀνακεκάθαρται τέλεον, μήπω γε ὁ τοῦ σαρκίου τούτου πηλώδης τε καὶ ποικίλαις κηλῖσι κατεστιγμένος ἀπεπνάχθη χιτὼν, ταύτῃ καὶ μόνον τῇ θεωρίᾳ φέρων δέδωκα ἐμαυτὸν, ποίῳ ποτὲ λόγῳ ἀναζητῶν ἐν τοῖς κάτω τοῖς δὲ παρακεχώρηται τὰ κακά, τῆς τε κατὰ τοῦτο καιροῦ καταστάσεως τῆς καθ' ἡμᾶς ἱερᾶς ἐκκλησίας, τῆς τοιαύτης ἀπορίας τὰς ἀφορμὰς παρασχούσης μοι, καὶ δὴ καὶ τὸ περὶ ἐμὲ καὶ πάλαι καὶ

νῦν

Ὁ αὐτὸς Σοφιανῷ.

Οἷς ἀπαιτεῖς με τὸ γράφειν, τοῖς αὐτοῖς τοῦτο μοι δοκεῖ ἀπαγορεύειν ὦ βέλτιστε. καινῶν γὰρ εἶναι σοι τῶν παρ' ἡμῖν ἐξαγγελτικὰ κελεύεις τὰ γράμματα. τοιοῦτον δ' ἐστὶν οὐδὲν τῶν γινομένων, ἀλλ' οὐδὲ τῶν δυνατῶν, εἰ Σολομῶντι χρὴ πείθεσθαι. Τὸ γεννησόμενον ἐστὶ τὸ γεγονὸς διδάσκοντι, ὡς καὶ τὸ ποιηθησόμενον τὸ πεποιημένον. καὶ οὐδὲν καινὸν οὐδὲ πρόσφατον ὑπὸ τὸν ἥλιον. τοιαύτη γὰρ ἡ τοῦ χρόνου φύσις. οἷα γὰρ ἀναλίσκει τὰ ἔκγονα, τοιαῦτα καὶ ἀποδίδωσιν, ἐν κύκλῳ τὸ ἄφθαρτον ἀποσώζουσα. οὐκ ἄρα γράφειν ἡμῖν ἔξεστι, καινὰ μηνύειν οὐκ ἔχουσιν. Εἰ δὲ τὸ ἀεὶ νέον ἐγγινομένην παρὰ τῶν φιλοσόφων εἰσήγησιν ἐννοεῖς, οὐδ' αὕτη τοιοῦτον. ἡ γὰρ μάθησις ἀνάμνησις ἐστὶν ἢ δοκεῖ Πλάτωνι. ἡ δ' ἀνάμνησις προεγνωσμένου τινὸς ἐστὶν ἀναπόλησις. ἔστω δὲ καὶ οὐκ ἀνάμνησις τὸ μανθάνειν, οὐ μὴν διὰ τοῦτο καινὸν, ἀλλὰ καὶ κοινὸν, εἴπερ ἐστὶ δεκτικὸς ἐπιστήμης ὁ ἄνθρωπος. Ἀλλά πως δοκοῦμεν ἀνασκευάζοντες τὰ καινὰ, αὐτὸ τοῦτο κατασκευάζειν ὅτι καινά. ἡ γὰρ τῶν καινῶν ἀπόφασις, θέσις αὐτῶν τούτων ἐστίν. Ἄλλως τε οὐδὲ πόρρω τῆς ἀληθείας ἡ ἡρακλείτειος πρόληψις. τοῖς ῥέουσιν ἀεὶ, νέα ἀντεισάγεσθαι ἕτερα. ἔστω γοῦν ἵνα καί σοι χαρισώμεθα καινὰ μηνύοντες, καὶ ἡμῖν αὐτοῖς φιλοσοφήσωμεν τὴν καινῶν τὴν ἀπόφασιν. Ἀλλ' αὐτὸς (εἰ σοὶ δοκεῖ) καινῶν τοιούτων μηνυσάμενος πρόφασιν, καὶ αὖθις γράφε, καὶ ἔρρωσο:

Παροιμ. α

εἰσόδει μνήμη ὢν πρὸς ἀλλήλοις ἰδίᾳ ποτὲ σκεπτομένοις, παρῄνεις τε τὴν εἰς Κρήτην ἀποδημίαν, συμπλεῦσαί τε ἅμα συνεπήδου καὶ συνδιατρῖψαι. ἐφ' οἷς δευτέραν ἔδοξε σκέψιν ἐπιστήσασθαι, ποτέρωθι τὰς διατριβὰς ἄμεινον ποιοίμεθα. Τὴν μὲν γὰρ τῶν Κεφαλληναίων ἄλλων τε χάριν οὐ σμικρῶν, καὶ ὅτι Πατρὶς ὑμετέρα, οὐκ ἔχω μὴ ἐπαινεῖν. ἡ λοιπὴ δὲ μᾶλλον κοινῇ συνοίσουσα φαίνεται. αἵ τε γὰρ Μοῦσαι ἀνειμένης δέονται τῆς ψυχῆς. ἀτὰρ τῇ Πατρίδι τῆς περὶ συγγενεῖς καὶ οἰκείους ἀπασχολήσεως, οὐ μείζων ἐστὶν ἡ ἀπόλαυσις. ἐμοὶ δὲ καὶ ἐκ μιᾶς ἀφορμῆς ἔσται ὑμῖν τε ὑπουργῆσαι τὰ εἰκότα, καὶ Κρητῶν τοῖς μετακεκληκόσι μὴ ἀπεχθάνεσθαι. πρόσθες δὲ εἰ βούλει, ὅτι καὶ νόον αὔξει ἡ τῶν ἀλλοδαπῶν ἱστορία. ὃ περὶ τοῦ ὑμετέρου Ἥρωος ᾖσεν ἡ ποίησις. Εἰς οὐδέτερον μέντοι πω τυγχάνω τὴν γνώμην ἀπηρεισάμενος. ὅθεν ἡδέως ἂν ἀκούσαιμι καὶ τὴν παρ' ὑμῶν περὶ τούτων εἰσήγησιν. ἥν μοι δηλῶσαι, εἰ μὴ ἀπαξιώσειας, περιμενῶ. ἐν τοσούτῳ δὲ καὶ τὰ οἰκεῖα ὁπωσοῦν διαθεὶς· καὶ τῶν ἐπικειμένων δυσχερειῶν σὺν Θεῷ ἀποσκεδάσας τὸν ὄχλον, πειράσομαι. Σοὶ δ' ἄλλα πλείστη χάρις ὧν τ' ἀπέσταλκας, καὶ ὧν ἀποστεῖλαι διενοοῦ, καί τι τούτων ἐκομισάμεθα πλὴν τῶν γραμμάτων οὐδέν. καὶ ταῦτ' ἀπεσφραγισμένα καὶ ὑπερήμερα. ἀλλ' οὐδὲ πρὸ τούτων ἄλλα, οὐδ' ὅλως παρὰ ταῦτα. ὅν τινα δ' αἰτιᾶσθαι χρὴ τῆς διαλήψεως τούτων, αὐτὸς εἴσῃ. ἐκεῖνο μέντοι οὐδ' αὐτὸς ἀγνοῶ, ὡς οὐ τὸ μὴ παρ' ἡμῶν ἀξιοῦσθαι τῶν ἴσων δυσχεραίνειν χρεών, ἀλλὰ τὸ μὴ ἀποδιδόναι τὰ παρὰ σοῦ. ἔρρωσο. καὶ τὸν εὐγενέστατον καὶ τιμιώτατον σὸν ἀδελφὸν κύριον Ἰωάννην Βαπτιστὴν πρόσειπε ὡς ἀπ' ἐμοῦ ἐκ καρδίας. Πρόσειπε δὲ καὶ τὸν τιμιώτατον τούτου υἱὸν Ἱερόθεον. Ἀθήνηθεν Βοηδρομιῶνος δευτέρᾳ ἐπὶ δέκα. αχιθ. ἀπὸ θεογονίας:

Ὁ

τὴν ἔχον, εἰς ἄλλον ὑπερθέσθω καιρὸν, καθ' ὃν καὶ αὖθις σου τῇ ἱερᾷ διαθέσει περὶ αὐτῶν σημανοῦμαι. γραμμάτων δὲ μὴ ἀπαξιώσοις τῶν περὶ σου διηνεκῶς ἡμῖν ἡδονῆς τηλικαύτης μνησιδόμενον πρόφασιν. ἔρρωσο ἀσθήνηθεν, αχιε· ἀπὸ Χριστοῦ. μηνὸς Ἐλαφηβολιῶνος εἰκάδι.

Τῷ ἐν ἱερομονάχοις πανδλαβεῖ καὶ λογίῳ ἀνδρὶ Κυρίῳ Νικοδήμῳ τῷ Μεταξᾷ. Θεόφιλος ὁ Κορυδαλεύς. τῶν ποθουμένων ἐπίδειξιν :

Ἔχει τι δεξιὸν καὶ ἡ διάστασις, καὶ οὐ πάντῃ ἔοικε τοῖς γε ποθοῦσιν ἄχρηστος. τήν τε γὰρ μνήμην ἀνεγείρει τῆς συνουσίας, καὶ τοῖς ἐν ὁμιλίαις ἀφροσύνης μᾶλλον ποιεῖ συναισθάνεσθαι. Ἐγὼ δὲ οὐδὲ περινοίας ἐκτὸς θειοτέρας, ὅτι ἐπιτηδεῦσαι φημὶ τὴν διάζευξιν, τῷ ἀνιαρῷ τῆς διαστάσεως ἡδίω ἡμῖν ἐς αὖθις προυτανεούσης τὴν ἕνωσιν. τοιοῦτον γάρ με καὶ λέγειν πείθει καὶ ὑπολαμβάνειν τὸ, τε αὐτὸν ἀηδῶς διαγαγεῖν μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν, κἀμὲ καὶ λυπηροῖς περιπαλαίειν, οἵοις οὐκ ἄν ποτε ἤλπισα. Μὴ γὰρ οἴου μόνην ἡμῖν ἀπὸ ὧν καταλελοιπέναι τὴν περὶ ἀπουσίας τῆς σῆς ἀθυμίαν (καίτοι κἀκείνης ἐς ἀηδίας ὑπερβολὴν ἀποχρώσης) ἐμοὶ δ' ἀλλ' ὥς φασι τῇ Πανδώρᾳ τοῦ πώματος ἀφαιρεθέντος ἐπ' ἀνθρώπους ἐσκεδάσθαι τὰ ἐκ πίθου κακά· οὕτω σοῦ τῆς σῆς συνουσίας ἀπολελειμμένῳ, μυρίων ὅσων ἐσμὸς ἀνιαρῶν ἐγκατέσκηψε. κακοὶ κακῶς ἀπόλοιντο οἱ πάντων ἐμοὶ τῶν κακῶν ἀρχιτέκτονες. ἀνθ' ὧν ἀπέγνωσταί μοι Πατρὶς ἡ φιλτάτη, ὑπὲρ ἧς τὰ κλεινά μοι παρῶπται Εὐρώπης μουσεῖα καὶ παιδευτήρια. καὶ ἧς ἕνεκα τυραννικὸν ἀνθειλόμην ζυγὸν τῆς γλυκυτάτης ἐλευθερίας. Ἔμελλον δὲ τῆς ἐπὶ Κρήτης ἑλεῖν ὅσον οὐδέπω, εἰ μὴ τέως τὰ παρ' ὑμῶν ἐπέχειν ἀφικόμενα γράμματα. ἃ κἂν μεθείλκυσεν ὅλῳ ῥεύματι πρὸς ὑμᾶς. Ἀλλά με τὶς

(προσκαρτερήσομεν παρ' ἐμοῦ τὰ εἰκότα) εἰ δυνατὸν ἡμῖν ἀποδέξασθαι. τὰ μὲν φιλίαν τὴν πρὸς ἐκεῖνον περιβαλλομένη, καὶ ἵνα μὴ ἄχρηστα κέωνται θριψὶ δαπανώμεναι. τὰ δὲ καὶ ἑτέρων περισπασθεὶς τῶν δουκάτων. ὡς ἂν εἴη τὰ πάντα τέτταρα, ἢ καὶ τί πέρας. ἄλλως τε οὐδὲ νεαρᾶς σκευασίας εἰσὶ, πρός τε τῷ ἐρρυπῶσθαι ἤδη, καὶ ἀμυχὰς ἐσχήκασιν οὐκ ὀλίγας. καὶ τὸ μέγιστον, ὡς μάλ' ὀλίγοι τοῖς καθ' ἡμᾶς χρόνοις χαίρουσι τῇ τῶν ἄστρων θεωρίᾳ. Ταῦτα μὲν καὶ ὅσ' ἄλλα τὰ ἀγνές σου τῆς συνέσεως ἐπικρίνειε φαίη πρὸς τὸν ἄνδρα. ἢ γράψειεν ἢν τύχῃ Κυθήριος ἐπιδημῶν. τὸ δὲ τούτων ὅρον Λεονάρδος ὁ ἡμέτερος (φημὶ δὴ τὸν Μακρῆν) ὑπὲρ ἐμοῦ καταβαλεῖται. Εἰ ταῦτα ἕξω, ἴσθω σου ἡ θεοσέβεια ὡς δῶρον εἴσομαι παρὰ σοῦ. ἂν δέ μοι καί τι τῶν δυνατὸν ἐπιτάξῃ, τοῦθ' ὅτε αὖτις εἴπῃ ἡγήσομαι κρεῖττον. ἔρρωσο, καὶ τοὺς σὲ φιλοῦντας ἄσπασον ὡς παρ' ἐμοῦ. φίλοι γὰρ δὲ αὐτῶν. Ἀθήνηθεν. αχιε.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Εὖ σοι γένοιτο πολλῶν ἕνεκα πατέρων ἱερώτατε, καὶ φίλων ἄριστε, ὅτι καὶ περὶ τῶν ἀστρολογικῶν ὀργάνων φροντίδα ἀνέλαβες ὑπὲρ ἐμοῦ οὐ σμικράν. καὶ τοῦ κατ' αὐτὰ σκοποῦ ἀποτετυχηκὼς, ἑτέραν ὁδὸν ἐξευρεῖν οὐκ ὤκνησας, δι' ἧς μοι ταῦτα πόριμα γένοιτο. καὶ ὃ τούτων ἁπάντων ἐμοὶ τιμαλφέστατον, ὅτι καὶ γραμμάτων ἠξίωσε τῶν παρά σου αὐτὸ τοῦτο δηλούντων, καὶ τὴν σὴν πρὸς ἐμὲ χαριεστάτην διάθεσιν. οἷς ὅσον ηὔφρανας, τεκμαίρεσθαι ἔχεις τῷ ἀνεπαχθῶς ἐνηνοχέναι διαμαρτήσαντα τῶν προσδοκηθέντων ὀργάνων. σοῦ γὰρ ἀπορῶν, οὐδενὸς ἀπορεῖν ἡγοῦμαι τῶν ὅσα ἀνθρώποις χρήσιμα. ὀργάνων γὰρ εἰ καὶ τῶν παρὰ τοῦ θεοφιλεστάτου ἐσφάλημεν, ἔστιν ἐπιτυχεῖν τῶν ἐκ Σικελίας, ἢ ἐκεῖθεν, οἷά που καὶ αὐτὸς ἐδήλωσας. Ἀλλ' ἡ περὶ τούτων φροντὶς τίγ-

γων

ἄκρατα τοῖς ἀνθρώποις διανενέμηνται παρὰ τοῦ Διός. τὰ δ' ἀγαθὰ οὐκ ἔτι, ἀλλ' ἀναπεφυρμένα κακοῖς. Τοῦτο γὰρ ἀτεχνῶς ἐπὶ τοῖς σοῖς μοι συμβέβηκε γράμμασιν. ἥσθην μὲν γὰρ οὐκ ἀπεικότως ἅτε δὴ πρὸς φίλου τοιούτου, ὃν ἔγωγε καὶ ἀπόντα φανταζόμενος, οὐδ' ἂν εἰπεῖν δυναίμην ὡς ὑπερευφραίνομαι. ἀλλὰ καὶ οὐ μετρίως ἐλυπήθην, ναὶ μὰ τὴν ἱεράν σου ψυχήν. ἡ γὰρ ἐπίτριπτος νόσος οὐκ ἐντυχεῖν ἐξ ἐπισταμένως τούτοις παρ' αὐτὰ τῆς ἀφίξεως ξυνεχώρει, καὶ τῆς ὥσει καρπώσασθαι παρ' αὐτῶν ἡδονῆς ἀναισθησίαν ἔθηκεν. οὕτω μοι βαρέως καὶ ἐπισφαλῶς εὐθὺς ἀθηνῆθεν ἐπιδεδημηκότι κατέσκηψεν. ἐξ ἧς μόλις ἐμαυτὸν (μηνὶ τουτὶ δεύτερος) συνείλεγμαι. μόγις οὐκ ἐφ' ἑκάστης ἡμέρας τὸ χρεὼν ἐκδεχόμενον. Ὅτι χάριν οὐδὲ θαυμάζειν ἄξιον τῆς ἱερᾶς σου διαθέσεως, εἰ πρὸς τὴν ἀπάντησιν ὑστερήμενος γέγονα. ἀλλ' ὅμως χάριν σοι τὴν τυχοῦσαν ὁμολογητέον τῷ παιδεύοντι καὶ πάλιν ἰωμένῳ κατὰ τὸ ἱερὸν λόγιον. Ἐπεὶ δὲ τοὺς φίλους ἀλλήλοις χρὴ συναίρειν ἐν χρείαις πᾶσι κοινῶς ὡμολόγηται, ἐμὲ σοὶ φίλον ὄντα μὴ θαρρεῖν καὶ χάριν αἰτεῖν, ἄτοπον ἂν εἴη. Ἐστὶ δ' οὖν ἐν χρείᾳ τυγχάνω σφαίρας τινὰς τῶν ἀστρολογικῶν, ἃς οἱ πολλοὶ βαρβαρίζοντες καλοῦσι Γλόμπους. δύο αὗται εἰσίν. ἡ μὲν τὰς ἐν οὐρανῷ εἰκόνας γεγραμμένη. ἡ δὲ τὴν περίγειον λῆξιν πεποικιλμένη. ἃς ὠνήσεις ὁ Θεοφιλέστατος Κυθήρων κεκτημένος, πρὸ πολλοῦ ἐς Ἐνετίας πέπομφε τῷ αὐτοῦ ἱεροδιακόνῳ ἀπεμποληθησομένας. ἀλλ' οὐκ ἀπέδοτο, μέχρις ὅτου διέτριβον ἐν Ἐπήσιν ἔγωγε. οἱ γὰρ παλιγκάπηλοι δύο καὶ μόνον ἠξίουν τῶν ἀργυρῶν τοῖς πολλοῖς λεγομένων δουκάτων ἀντ' ἐκείνων δοῦναι. ἐγὼ δὲ καὶ τρίτον τῶν δουκάτων ὑπεσχόμην καταβαλεῖν εἴ μοι ἀποδῷη. ἀλλὰ παρῃτεῖτο μου τὴν εἰσήγησιν, ὡς μὴ ἐξὸν αὐτῷ ἄνευ τῆς βουλῆς τοῦ Θεοφιλεστάτου τοῦτο δρᾶσαι. Εἰ μὲν οὖν μέχρι τοῦ δε μὴ εἴη ἀποδεδωκώς, πεισάτω σου ἡ τιμιότης τὸν ἄνδρα

καὶ διαθέσεως. ἔαρ, ὃ καθηδύνει τοὺς θείου οἴκου ποθοῦντας εὐπρέπειαν. ὃ ποικίλλει καλλιστέφων τὸν λειμῶνα τῆς ἐκκλησίας μυρίοις ὅσοις εὐώδεσι τῶν ἀρετῶν ἄνθεσιν. ἤρθης ἤδη ἐπὶ τὸν ἡμέτερον ὀπωρικὸν, ἢ τό γ' ἀληθέστερον εἰπεῖν, μετέβης κἂν ἀρθῆναι δοκῇς. ἔνθα χρὴ κορυφὴν μᾶλλον, οὐδὲ πλαγίως ἔτι καὶ ἀνειμένως ἐποπτεύων, τοὺς πνευματικοὺς θέρους ἡμῖν ἐκτελεῖς τοὺς καρπούς. ὅσον μὲν σηπεδονῶδες ἐμπαθοῦς ὕλης, ἀναξηραίνων. ὅσον δ' αὐστηρὸν καὶ ἀντίχον, μαλάττεις, ἀεὶ καταψῶν ταῖς ἀκτῖσι τῶν θείων λογίων, καὶ εἰς ἀποθήκην ἀπεργαζόμενος ὥριον. Ταῦτά τοι καὶ προσκαλεῖται σοι τὴν εὐλογίαν τῶν παριόντων, καὶ πάντας ᾄδειν ἐγείρει τῆς θεοσέπτου ψυχῆς σου τὰ προτερήματα. Ἐμοὶ δὲ τὴν ὑπώρειαν λαχόντι, καὶ πόρρωθεν ἐνηχουμένῳ, τῇ περὶ τὸ ἔνθεον ὕψος σου σάλπιγγι, τό γε νῦν εἶναι τοσαῦτα ἐπῆλθεν εἰπεῖν. εὐλαβουμένῳ τὸ τῆς παροιμίας, κωφὸν ἀποκαλύσης, τῷ Ἡρακλεῖ στόμα μὴ περιβάλλοντα. ἢν δὲ θεὸς ἐπινεύσοι, καὶ Μωσῆς (ἡ σὴ θεοσέβεια) ἐγγυτέρω γενέσθαι, περί σοί τε, καὶ ὑπὸ σοί, πλειότερον ἔσομαί τε καὶ ᾄσομαι. Ἀλλὰ συνδιέποι σοι καὶ συμπεράγοι εἰς βαθύ τε καὶ λιπαρὸν γῆρας ἡ καὶ δωρησαμένη τὸ ὕψος τοῦτ' ἀξιώματος ἀγαθαρχικὴ πρόνοια σεβασμιωτάτη. ἔρρωσο. ἀπὸ Ζακύνθου ,αχκα. ἔτει ἀπὸ Χριστοῦ. Θαργηλιῶνος. ζ. ἱσταμένου. τῆς ὑμετέρας σεβασμιότητος ἐλάχιστος δοῦλος, ἀλλὰ πιστὸς Θεόφιλος ὁ Κορυδαλλεύς:

Διονυσίῳ πατρὶ λογίῳ, πιστῷ φίλῳ ἀνδρῶν αἰδεσιμωτάτῳ τῷ μακρῷ, Θεόφιλος ὁ Κορυδαλλεύς,
εὖ πράττειν.

Εἴπερ ποτὲ καὶ νῦν οὐχ ἥκιστα τὸ ὁμηρικὸν ἐκεῖνο τεθαύμακα τιμιώτατε δέσποτα, ἐν οἷς παρεισάγει τὸν Ἀχιλλέα εἰς παραμυθίαν λέγοντα τοῦ Πριάμου. τὰ μὲν κακὰ καὶ

ἄκρατα

φῶτα καὶ τοῦ πρώτου φωτὸς λειτουργικὰ ἐπὶ γῆς μιμητήριωται, οἱ τῆς ἐκκλησίας ποιμένες καὶ πρόεδροι. ἃ καὶ φωτίζεται μὲν παρὰ τοῦ πρώτου. φωτίζει δὲ τοὺς ὑποβεβηκότας τῇ φωτιστικῇ μυήσει τε καὶ τελεσιουργίᾳ. Ἐν τούτοις ἔμελλε μεθ᾽ ἡμῖν οὐκ ἀμυδραῖς ἀκτῖσιν ἀναλάμψαι σου ἡ σεβασμιότης, ἐν πολλῷ τῷ χειμῶνι καὶ ζόφῳ ἀποσευμένοις. μᾶλλον δ᾽ ἐπ᾽ αὐτῷ τούτῳ καταπεμφθῆναι, ἐφ᾽ ᾧ καὶ χειμῶνα κατευνάσῃ ψυχόλεθρον, καὶ σκότος ἀγνοίας διασκεδάσειεν. Ἀλλ᾽ ἡ μέλλουσα ταύτην τελεταρχικὴ τοῦ πνεύματος χάρις ἐπὶ τὴν ἀκροτάτην ἐνιδρῦσαι περιωπὴν, πολὺ πρότερον ἐπὶ τὴν ἀκρώρειαν τῆς ἀρετῆς προσεβίβασεν, ὡς εἶναι σοι τὸ ἀξίωμα, μὴ μόνον θεαρχικῆς ἐλλάμψεως δῶρον, ἀλλὰ καὶ αἷς κατεκόσμησεν ἀρεταῖς κατάλληλον. Τεκμήριον δὲ τούτου σαφὲς, καὶ τοῖς πᾶσι βασκαίνουσιν ἀναντίῤῥητον. οὔτε γὰρ ἂν ἡ πρόνοια ἐνέγκῃ κακίας αἱρεθείσης, κάτω μένειν ἀρετῆς φύσιν ἀχρείαν καὶ ἄπρακτον (εἰ μή τι πρὸς ἡμᾶς ἀντιστάνηται) βούλεται γὰρ ἀεὶ ἐπὶ τὴν λυχνίαν τὸν λύχνον τίθεσθαι. καὶ πάντων πάσαις χερσὶ καὶ γνώμαις ὑπαρθῆναί σε τῷ ἀξιώματι, θείας ἐστὶν ἄντικρυς μοίρας προαγούσης ἤδη ἐφ᾽ οἷς καὶ κατέπεμψε λειτουργήμασι. Τὸ δὲ δὶς ἤδη, ἵνα καὶ μᾶλλον ἐπισφραγίσηται τὸ ὑπέρεχον τῆς ἀρετῆς, καὶ μηδὲν εἴη ἀθέατον τῆς ἀνατατικῆς πρὸς θεὸν ἀκτῖσι τῆς ὑμετέρας συνέσεως. οἷον γὰρ ἄλλον ἐπὶ γῆς ἥλιον, τοῦ πρώτου τῆς δικαιοσύνης ἡλίου ἀπείκασμα, ἐστήριξε μὲν φθάσασα ἐπὶ τὴν πρώτην τοῦ φαεσφόρου κύκλου περιωπὴν, τὴν μεσάτην παραγγείλασα τῶν ἄλλων φωστήρων πορείαν. ἀλλ᾽ ἐπὶ μεσημβρίαν ὑποκλίνας, τὰς κυαναίων ἀνδρῶν πόλεις καὶ χώρας κατηύγαζες, βράδιον πανελλήνεσι φαείνων. νυνὶ δὲ ἀπὸ τῆς ἐαρινῆς ἀνίσχων ἰσημερίας, τὸ καλὸν ἡμῖν ἀνέτειλας ἔαρ. ἔαρ, ὃ ψυχὰς πιστῶν καταθάλπει, μονονουχὶ πεπηγυίας τῷ ψύχει τῆς πρὸς τὰ κα-

λαι

ΤΟΥ ΑΥΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΚΟΡΥΔΑΛΕΩΣ τοῦ ΑΘΗΝΑΙΟΥ

Ἐπιστολὴ πρὸς τὸν παναγιώτατον Κωνσταντινουπόλεως Πατριάρχην, πρότερον δὲ Ἀλεξανδρείας Κύριον Κύριλλον:

Θειότατε καὶ θεοπρόβλητε δέσποτα οἰκουμενικὲ Πατριάρχα εἴη σου τὸ ἔνθεον σκῆνος τῆς τρισολβίας ψυχῆς ὑγιαῖνον καὶ πάσης ἐπηρείας ἀνώτερον.

Τέρπει καὶ ζῶα καὶ φυτὰ πάντα θάλπει τὸ τῆς ἡλιακῆς ἀκτῖνος προσβάλλον ἀπαύγασμα σεβασμιώτατε δέσποτα. τὰ πολλὰ δὲ καὶ εἰς ᾠδὴν παρορμᾷ, χυμοὺς τοὺς ἐν αὐτοῖς διαχέον ὅτι τὸ ἱλαρώτερον. καὶ ἔστιν ἡλίου (ὡς λέγεται) οὔτε θεαπρεπέστερον ἐν τοῖς ὁρωμένοις οὐδέν, οὐδὲ δημοσιώτερον. Εἰ δὲ τὸ αἰσθητὸν τοῦ ἡλίου ἀπαύγασμα τοιοῦτον ἐστὶ καὶ κρίνεται, ὁ ποῖον χρὴ νομίζειν τὸ νοερὸν φῶς ὅλην περιαστράπτον ψυχὴν θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων πεμπόμενον; πόσης ἐκεῖνο θυμηδίας παραίτιον τοῖς γ' ὡς ἀληθῶς ἐν φωτὶ περιπατοῦσι, καὶ υἱοῖς ἐσομένοις φωτός; Ἀνατέλει γὰρ φησὶ τῷ δικαίῳ καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνης γίνεται πρόξενον. Ἀλλὰ φῶς μὲν πηγαῖον καὶ ἄχρονον ὁ ἱερὸς οἶδε λόγος, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. δεύτερα δὲ

Ὑπόδειγμα.

Ἄρα τοσοῦτον δύνανται τύχαι; ἆρα τοσοῦτον μεταβάλλουσι γνώμας ἀξίαι; Νικόβουλος καταφρονεῖται Γρηγορίῳ, καὶ τίς ἂν ἄλλος ἔσται παρὰ φίλοις αἰδέσιμος; τίς μνήμων χαρίτων τῶν παρὰ φίλων, εἴγε Νικοβούλου ἐπιλήσμων Γρηγόριος; ὃν ἐγὼ οὐδὲ θανόντα τῶν πρὸς ἐμοῦ εὐεργετημάτων ἐπιλαθέσθαι ἤλπιζον. Ἀλλ᾽ αὐτὸς ὦ γενναῖε μόλις ὅ φασιν ἄκρῳ δακτύλῳ τοῦ περὶ τὴν ἀρχὴν ὄγκου ἀπογεύσασθαι ἔφθης. καὶ οὐ μόνον φίλων ἐπελάθου τῶν πάλαι, ἀλλὰ καὶ τῶν μάλιστα εὐηργετηκότων σε. οἷς οὕτω σου τῆς μνήμης ἀπέβαλες, ὡς μηδὲ ὄντας τὸ παράπαν ἡ γῆ. Συνέστη σοι παρ᾽ ἐμοῦ Δημόφιλος, ὃν ἄμην εἰ καὶ πεμπονήρως ἐδεῖτο, τῶν αἰτουμένων δι᾽ ἐμὲ τυχεῖν παρὰ σοῦ. σὺ δὲ τοιαῦτα ἐμοῦ κατολιγώρησας, ὡς οὐδὲ κἂν ὅτι δικαίων ἐδεῖτο, δι᾽ αὐτὸ τοῦτο ὑποδοχῆς ἀξιῶσαι παρὰ σοί. εἶτα δὴ καὶ προσῆκε, τῷ, εἰ μὴ φίλῳ, ἀλλὰ γοῦν δικαίῳ κριτῇ. τοιαῦτα παρὰ σοῦ προσεδόκουν ἐγώ; οὕτως οἱ φίλοι τοὺς εὐεργετοῦντας ἀμείβονται; ταῦτα κἂν Φάλαρις ὤκνησε, κἂν Διονύσιος ὁ ἐπὶ τυραννικῇ βεβοημένος ὠμότητι. πῶς ἐπελάθου τῶν χρόνων καθ᾽ οὓς ἐνεπλήσας εὐεργεσίαις τῆς παρ᾽ ἐμοῦ; πῶς ἀμνημονεῖς τῶν κινδύνων, ἐξ ὧν πολλάκις σέσωκα; ἆρα σου τῆς μνήμης ἀπερρίφησαν αἱ περὶ τοσούτων καὶ τηλικούτων ὑποσχέσεις; ἢ σοι τούτων μικρὰ γοῦν ἔτι περιμένει τῇ φαντασίᾳ ἰνδάλματα; καὶ τίνων εἴπερ ποτὲ ἔξην διαλῦσαι τὰ πρὸς φίλους ὀφλήματα, ὅτε καὶ παρὰ τῆς τύχης τὸ δύνασθαι ἔλαχες. Ἀλλ᾽ ἐπαινῶ τὸν εἰπόντα. κρινεῖ φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ:

Τέλος τῶν ἐπιστολικῶν τύπων.

ἀνδρὶ στερρῷ τὴν διάνοιαν προσήκοντα; πῶς ἤθους φιλοσόφου, ὃ δὴ σαυτὸν ἐπαγγέλλῃ; οἳ τὸν φίλον ἄλλον ἑαυτὸν εἶναι βούλονται; εἰς πάντα παθεῖν καὶ ποιῆσαι τοῦ ψεύσασθαι εἶναι αἱρετώτερον; σὺ δ' ἀλλ' ἴσως μετὰ τῶν ἄλλων ἐπελάθου καὶ φιλοσοφίας. τὸ δὲ πλέον, ὅτι καὶ σαυτοῦ. ἀτεχνῶς γὰρ τὸ ὁμηρικὸν ἐκεῖνο, Ἀλλοῖός μοι νῦν φαίνῃ ἢ ἐπάροιθεν. εἰ γάρ τι καὶ ἦν τὸ κωλύον εἰς ἔργον τὰς ὑποσχέσεις ἀγαγεῖν, ἀλλὰ γράμμασιν ἀσπάσασθαι οὐδὲν ἂν ἦν ἐμποδών. εἰ δὲ τὴν πρὸς ἐμὲ φιλίαν ἀπειπεῖν ἔγνως, αὐτὸ γοῦν ἀλλὰ τοῦτο δήλωσον ἐπιστείλας:

Περὶ Ὀνειδιστικοῦ.

Ὄνειδος εἶναι λέγεται εὐεργετημάτων προφορὰ ἐπὶ ἐλέγχῳ ἀχαριστίας. Ὀνειδιστικὸς δὲ τύπος ἐπιστολῶν, ᾧ χρώμεθα, τοὺς φίλους ἐλέγξαι βουλόμενοι, ὡς χάριτος καὶ εὐεργεσίας ἀμνήμονας. ἀλλ' ὁ πρὸς φίλους ἔλεγχος, οὐχ οὕτως ἐστὶν ἐπιτεταμμένος, ὡς ἐν ταῖς κατηγορίαις παρὰ τοῖς Ῥήτορσι τεχνιτεύεται. ἀλλ' ἀνειμένος ὅτι πρὸς φίλους, ἵνα μὴ τὴν φιλίαν ζημιωθῶμεν. Ἄρξασθαι μὲν οὖν ἔξεστιν ἐν ἀρχῇ, καὶ δὴ δεινοπαθῆσαι τῷ παρ' ἐλπίδας πραχθέντι παρὰ τοῦ φίλου. αὐτὸ δὲ τὸ πραχθὲν ἐντέχνως ὡς οἷόν τε πρὸ ὀφθαλμῶν ἐκθήσωμεν, τὰ πρὸς ἡμῶν ἐκείνῳ εὐεργετημένα ἀναμνήσαντες. καὶ δόξῃ τῇ ἐκείνου, παιδείᾳ, ἢ εὐγενείᾳ, καὶ τοῖς τοιούτοις ἀνάξιον τὸ πραχθὲν δείξωμεν. Τελευταῖον δὲ, καὶ παραδείγμασιν, ἐξ ὧν ἔπαθον ἕτεροι παρὰ μὴ φίλων, μηδὲ εὐεργετηθέντων αὐξήσωμεν. Εἶτα βραχεῖ ἐπιλόγῳ εἰς μνήμην τῶν εὐεργετημάτων παρακαλέσωμεν, καὶ τῶν πλημμεληθέντων διόρθωσιν. Ἔξεστι δὲ καὶ ἀνὰ ἐπιλόγου χρήσασθαι τῷ τοιῷδε τύπῳ, ἡνίκα πικρότερον τὸ ἐν ἡμῖν πάθος ἐμφανίσαι βουλώμεθα:

Περὶ Μεμπτικοῦ χαρακτῆρος.

Μέμψις ἐστὶν, ἀμελοῦντος τοῦ καθήκοντος κατηγορία. Μεμπτικὸς δὲ τύπος ἐπιστολῶν, ᾧ περ οἱ φίλοι χρῶνται ἐγκαλοῦντες τοῖς φίλοις, τῶν καθηκόντων ἀμελοῦσι φιλίᾳ. ἢ ὡς ψευδομένοις τὰς ὑποσχέσεις. ἢ ὡς μὴ ἀντιφιλοῦσιν. ἢ ὡς ἀμνήμοσι παλαιᾶς συνηθείας, μηδ' ἀντεπιστέλλουσιν ὡς εἰκὸς φίλοις. ἢ ὡς ἀσυμπαθέσι καὶ ἀμυλίχοις. καὶ τὰ τοιαῦτα. Διαφέρει δὲ τοῦ κατηγορικοῦ, τά τε ἄλλα, καὶ τὸ μηδὲ ἐναγώνιον εἶναι ὡς ἐκεῖνος. μήτε πικρῶς καθάπτεσθαι τῶν ἡμαρτηκότων. ἀλλὰ προσηνέστερον ἐμφαίνειν τὰς πρὸς φίλους μεμψιμοιρίας. χαριεντισμοῖς τε καὶ σκώμμασι τὰ πολλὰ χαίρων, καὶ πρὸς τὸ δυστράπελον ἀπαλίνων: Θαυμάσαι δὲ ἔξεστι τῆς ἀρχῆς καὶ ὅπῃ ἐπαπορῆσαι, τί ἂν εἴη τὸ ποιῆσαι ἀμελῆσαι τοῦ καθήκοντος τὸν φίλον. τὰς δὲ πίστεις τῆς μέμψεως, ἔκ τε τοῦ πράγματος καὶ τῶν προσώπων ληπτέον, καὶ ἐκ τῶν ἄλλων περιστατικῶν. Βραχὺ δ' ἐπιλόγῳ χρησόμεθα, εἰς φιλίαν τὸν φίλον ἐνάγοντι, καὶ τὴν προτέραν διάθεσιν.

Ὑπόδειγμα.

Ποῦ δὲ συνθῆκαι τε καὶ ὅρκια πῇ βήσεται ἡμῖν; ταῦτα μὲν Ὀδυσσεῖ περὶ Ἑλλήνων εἴρηται. ἐμοὶ δὲ μᾶλλον εἰρῆσθαι προσήκει περὶ σοῦ. αἱ γὰρ ἐκείνων ὑποσχέσεις, κυλίκων ἔργον ἦν. ἃς εἶχέ τινα συγγνώμην καὶ ψεύσασθαι. τὰς δὲ παρὰ σοῦ οὐ κύλικες, ἀλλ' ὁ μακρὸς χρόνος, καὶ ἡ πολυετὴς πεῖρα ἐδόκει ἐν ἀσφαλεῖ καθιστᾶναι. δι' ἣν οὐκ οἶδα, εἰ χρὴ σε μᾶλλον τῆς ἀπάτης, ἢ ἐμαυτὸν τῆς πίστεως μέμψασθαι. Χρόνον οὐ μικρὸν μὲ κατεῖχες, ἐφ' ᾧ μοι συναπάραις Ἀθήναζε. προὔπεμψας ὡς αὐτίκα λέγων ἑψόμενος, ἀλλ' οὐδὲ γραμμάτων ἠξίωσας ἀντὶ σαυτοῦ. δὶς καὶ τρὶς ἐπεστάλκαμεν, καὶ παρὰ σοῦ πλέον οὐδέν. τίνες φιλίας φέρουσι ταῦτα θεσμοί; πῶς

ἀνδρὶ

καὶ ἐπιεικείας τὸν διώκοντα ὑπομνηστέον, καὶ εἰς συγγνώμην παρακλητέον:

Ὑπόδειγμα.

Καὶ φιλίαν ἀδικεῖς οἷς δυσχεραίνεις, καὶ τὴν σαυτοῦ στερρότητα. τὴν μὲν, ὅτι πονηρὰς ὑπονοίας παρέχεται τοῖς περὶ φίλους. σαυτὸν δὲ, οἷς ῥαδίως παράγει τὸ στερρὸν ζημιούμενος. τὸ δ' ἐμὸν, ἴσως οὐδ' ἐν λόγου μοίρᾳ παρὰ σοί. καίτοιγ' ἐχρῆν. μηδ' οὕτω φιλαιτίως ἔχειν πρὸς φίλους, καὶ τὰ παρ' ἐκείνων κρίνειν προπετέστερον, ἢ ἀσφαλέστερον. Οὔτε γὰρ ἐξήνεγκα τὴν ἐπιστολὴν ἔγωγε, οὔτε παρεξηγησάμην, ὡς αὐτὸς περὶ ἐμοῦ τοπάσαι ἐτόλμησας. ἀλλ' ἀφῃρέθην καὶ μὴ βουλόμενος ὑπὸ τῶν ἐρώντως αἰδομένων τὰ γράμματα. ἅπερ αὐτοί τ' ἀναγνόντες, ἐπ' αὐτὰ καὶ τοὺς ἄλλους ἐκάλουν. οἳ δὲ, ἢ τάχους εἶχον ἐπὶ τὴν θέαν ἔθεον, ὡς ἐπὶ τοὺς ἀμφὶ τὸν Ὀδυσσέα οἱ Κύκονες. καὶ θέατρον ἐντὸς ὀλίγου ὁλόκληρον ἦν, τῶν θαυμαζόντων τὰ γράμματα. Ἆρα παρὰ τοῦτο ἀδικεῖν σοι δοκῶ; οὐκ οἶμαι. ἀλλ' οὐδὲ εἰ καὶ ἑκὼν εἶναι ἐξήνεγκα. τοὐναντίον γὰρ ἂν ἀδικοίην, εἴ σοι τηλικαύτης εὐφημίας ἐφθόνησα μὴ ἐξενεγκών. Εἰ δέ τις ἔλαθε παρεισδὺς μετὰ τῶν συνδραμόντων καὶ Πάρδαλις, ὅς ῥηματίου τινὸς ἐπιλημμένος, τὸν ὑγιαίνοντα νοῦν κακοήθως ἐσπάραξε, καί τι προσθεὶς παρ' ἑαυτοῦ, τυχὸν πονηρὸν ἀπίδῃ καὶ ἄτοπον, οὐκ ἐμὸν τοῦτο, οὔτε κωλῦσαι, οὔτε μὴν τὴν ἀρχὴν εἰδέναι. παντὶ γὰρ ὑπὸ λίθῳ Σκορπίος εὕδει φασί. Τί οὖν τούτων ἄφιλον ἢ κακόηθες; ἐγὼ μὲν οὐχ ὁρῶ. αὐτὸς εἰπὲ τὸ λυποῦν, καὶ ὅς ἐπῆρε τοιαῦτα κατ' ἐμοῦ βλασφημεῖν. ἀλλ' οὐχ ἕξεις. Μὴ οὖν κρῖνε μηδὲν ἀδικοῦντα. τὸ γὰρ μὴ κινεῖν ἠρεμοῦντα, καὶ ἡ παροιμία παιδεύει. ἄλλως τε καὶ τὸ τοῦ Αἰνείου παντί που ῥᾷον. Ὁποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις;

πάλιν ὥρισται) ἁμαρτημάτων ἢ ἀδικημάτων κατηγορηθέντων ἢ καθ' ὑποπτευθέντων διάλυσις. ἣν καὶ τριπλῇ μεθόδῳ συνεστάναι φησὶν ὁ αὐτός. Ἢ γὰρ ἀποδεικτέον τῷ ἀπολογουμένῳ, ὡς οὐδὲν τὸ παράπαν τῶν κατηγορουμένων ἔδρασεν. ὃ πίστεσι τοῖς ἀτέχνοις καταδήλον παραστήσει, καὶ τοῖς ἐν τέχνοις ἐπιχειρήμασιν. Αἱ μὲν οὖν ἄτεχνοι πίστεις, ἢ ὅρκοι εἰσίν, ἢ συγγράμματα. μάλιστα δὲ μαρτυρίαι. ἃς ἀπὸ τῶν αὐτοψεὶ θεασαμένων, ἢ ἄλλως αἰσθομένων προσενεγκεῖν δέον. Τῶν δὲ ἐκ τῆς τέχνης ἐπιχειρημάτων, ἀπορήσει τριχῶς. ἢ ἀπὸ τοῦ ἐγκλήματος καὶ τῶν ἐκείνῳ περιστατικῶν. ἢ ἀπὸ τῆς ἰδίας ἀναγωγῆς καὶ ἐπιεικείας, ὡς οὐδέποτε τοιαῦτα πεποιηκὼς ἐφωράθη. ἀλλὰ καὶ τοὺς ἐπιχειρήσαντας ἀπίστησιν. ἢ ἀπὸ τῆς μοχθηρίας τῶν κατηγορησάντων, ὅτι φθόνῳ ἢ μίσει ἡττώμενοι, ταῦτα προπετῶς καὶ ἐκθέσμως ἐσκευωρήκασιν. Εἰ δὲ οὐκ ἔστιν ὅλως λαθεῖν, ἀλλὰ τὸ πραχθέν, δίκαιον, ἔννομον, συμφέρον τῇ τε πόλει κοινῇ καὶ ἰδίᾳ τοῖς φίλοις, καὶ αὐτῷ μάλιστα τῷ ἐγκαλοῦντι, εἴπως ἐνδέχεται ἀποδείξει. ὃ καὶ ἐμπεδώσει ἔκ τε παραδειγμάτων, εἴποτέ τις τοιοῦτον ἢ ὅμοιον πεποιηκὼς εὐδοκίμησε. καὶ ἐκ τῶν ἄλλων περιστατικῶν. ἐξ οἵας γνώμης ἐπράχθη λέγων, καὶ ὁ πηνίκα, καὶ ὑπὲρ ὅτου, καὶ τὰ ὁμοιότροπα. Ἢν δὲ τὸ πραχθὲν ἀδίκημα προφανὲς ᾖ, καὶ μᾶλλον ἢ ὑπὸ τῆς τῶν λόγων διπλόης περιχρωσθῆναί τε καὶ μεταμορφωθῆναι, ἐπὶ τὴν συγγνώμην καταφευκτέον. τάς τε αἰτίας εἰς τύχην, εἰς ἔνδειαν, εἰς ὀργήν, ἔρωτα, καὶ τὰ τοιαῦτα ἀνακτέον. καὶ ὅλως ὅτι οὐκ ἐκ προνοίας οὐδ' ἑκόντι πεπρᾶχθαι δεικνύναι πειρατέον. τὸ δὲ τοιοῦτον, οὐ τῷ πράξαντι ἴδιον, ἀλλὰ καὶ αὐτῷ δὴ τῷ διώκοντι, καὶ πᾶσιν ἀνθρώποις κοινὸν ἀτύχημά τι. Πέρας δὲ καὶ παραδείγματα ἐκθετέον. ἐν οἷς οἱ τὰ παραπλήσια ἢ καὶ δεινότερα πεπονθότες, λαμπρῶς ἅμα καὶ μεγαλοπρεπῶς περὶ τοὺς ὑπευθύνους ἐφιλανθρωπεύσαντο. τῆς τε συνήθους καὶ καλοκαγαθίας

καὶ

Ὑπόδειγμα.

Οὕτω τοῖς φίλοις ὑπουργοῦσιν οἱ φίλοι; τοιαύταις τοὺς εὐνοοῦντας ἀμείβονται χάρισιν; εὖγε, ὡς ἀπέχω τὴν χάριν. καὶ πῶς οὐκ ᾐδέσθης, ἣν σαυτῷ προσήκειν νομίζοις δόξαν, ἀνδρὸς δῆθεν σπουδαίου, καὶ παιδείας τὰ πρῶτα φέροντος, ἀλλ' ὅλας συγκροτῶν θεατροσκοπίας ὕβρεσιν ἐνετρύφας γραμμάτων τῶν πρὸς ἐμοῦ, παρερμηνευμένων ταῦτα παρὰ τὸ δίκαιον, καὶ τοῖς πολλοῖς παρέχων εἰς τὰς κατ' ἐμοῦ βλασφημίας ἐφόδιον; καίτοιγ' ἐχρῆν, εἴ τί που καὶ παρημέληται, μάλιστα μὲν κατέχειν ἀνέκπυστον· ἢν δὲ μή, ἀλλά γ' οὖν ἀνεπίληπτον πειρᾶσθαι δεικνύναι. ὅπερ ἦν εὐνοοῦντος. μὴ ὅτι καὶ τῶν κειμένων καλῶς προσκατηγορεῖν ἀναιτίως. ὃ καὶ τῶν ἀλόγων ἐστὶν ἀλογωτέρου φρονήματος ἔλεγχος. κἀκείνοις γάρ που ἐνυπάρχει παρὰ τῆς φύσεως φιλεῖν τε τὰ ὁμοειδῆ, καὶ σαίνειν φιλοφρονοῦσι καὶ τιθασεύεσθαι. Σὺ δὲ καὶ φύσεως ὑπερλελάκτικας ὅρους, καὶ φιλίας ἀπώσω θεσμούς. οἳ τοὺς φίλους μηδ' ἐννοεῖν τὸ παράπαν κατ' ἀλλήλων ἀνέχονται. καὶ ταύτῃ γίνεσθαι γλαφανὴς ἐφιλοτιμήσω, πράττων, καὶ λέγων, ὅσα φέρει πρὸς λοιδορίαν τῶν φίλων. ὃ καὶ διαφερούσης ἐστὶ μοχθηρίας. περιουσία γὰρ κακίας ἐς ταῦτα προάγει. ἃ κἂν Σίσυφος ὤκνησε, κἂν παρῃτήσαντο Κύκλωπες, οὓς ἀθεμίστους οἶδε καὶ ὑπερφιάλους ἡ ποίησις. οὐδὲ γὰρ ἂν ὁ Πολύφημος τοὺς Ὀδυσσέως ἐλυμήνατο φίλους, εἰ μὴ τὰ ἐς θοίνην αὐτῷ ἐχρησίμευον. σοὶ δὲ χρηστὸν μὲν ἄλλο ἐκ τούτων οὐδὲν περιέσεσθαι, καὶ μάλα σαφῶς οἶδα. ὅτι μὴ τὸ πᾶσι γενέσθαι ἐν πονηρίᾳ περίβλεπτον. καὶ κακὸν ὥσπερ δυσάντητον ἀποτροπιάζεσθαι:·

Ἀπάντησις πρὸς τὸν Κατηγορικόν.

Ἡ πρὸς τὸν Κατηγορικὸν ἀπάντησις, καὶ ἀπολογητικὸς χαρακτὴρ λέγοιτ' ἄν. Ἔστι δ' ἀπολογία (ὡς τῷ Ἀριστο-

τέλει

νόμῳ κεφαλαίῳ. ἀλλὰ καὶ τῷ ἀπρεπεῖ, καὶ ἀσυμφόρῳ καὶ τοῖς ὁμοίοις.

Ἀγάλλοντες μὲν οὖν τῆς κατηγορίας ἀρξώμεθα, ἐκείναις κεχρημένοι ταῖς φωναῖς, αἷς δῆγμα ψυχῆς ἐμφανὲς εἴωθε γίγνεσθαι. τούτοις δὲ ὑπογείου τὸ πλημμεληθὲν τῷ φίλῳ ἐπισυνάψωμεν, δεικνῦντες ἀπᾷδον τῇ τε κοινῇ φύσει καὶ τοῖς ἁπάντων δόγμασιν ἀντικαθιστάμενον, καὶ φιλίας δεσμὸν ἀναιροῦν, τὰ μὲν ἀπὸ τοῦ πράγματος, τὰ δὲ ἀπὸ τοῦ προσώπου. τουτέστι καθ' οὗ ἡ κατηγορία. ὅτι οὐ προσῆκον ἦν. οὔτε πρὸς ἐκεῖνον τοιοῦτόν γε ὄντος, καὶ οὕτως ἡμῖν ἔχοντος. Φιλίας δὲ χάριτας, εἰ τύχοι καὶ ὑποσχέσεις τὰς πρότερον, ἢ καὶ πατρῴας ὑπομνήσωμεν, καὶ ὡς ψευδόμενον ταύτας καταιπασώμεθα. καὶ μάλιστα ὅτι ἑκὼν καὶ ἐκ προνοίας. Τὰ δὲ πρὸς ἡμᾶς αὐτῶν, ὅτι οὐδὲν οὐδαμῶς ἐσμὲν ἐκείνῳ δεινὸν εἰργασμένοι. ἀλλὰ καὶ τὰ ἐκείνου περὶ πολλοῦ ποιούμεθα. καὶ δεῦρ' ἀεὶ ἐξαιρέτῳ φιλίᾳ γεραίρομεν. Εἶτα καὶ ἀπὸ τῆς φιλίας ἡ τοὺς φίλους μίαν ψυχὴν ἐν διαφόροις σώμασιν εἶναι ἐθέλουσα, σχολῇ γ' ἂν φίλον παρὰ φίλου ἀδικεῖσθαι ἀνάσχοιτο. καὶ πρὸς τὸ ἀκραιφνὲς τῆς ἑτέρων ἐπαινουμένης φιλίας τὰ ἐκείνου παραβαλοῦμεν, συνάγοντες ὅσα ἀπᾴδουσι. Καὶ ἀπὸ τοῦ ἀσυμφόρου. ἵνα τι γένηται φήσομεν, καὶ ὅσα καρπώσαιο τῆς περὶ φίλους ἀδικίας τὸ χρήσιμον, ὅτι μὴ τὸ μηκέτι πιστεύεσθαι τοῦ λοιποῦ λέγεις, καὶ πρὸς φιλίαν ἀχρεῖος λογίζεσθαι. Τέλος δὲ, οἷς παρὰ τῶν δυσμενεστάτων, ἢ ὠμοτάτων πεπόνθασιν ἄνθρωποι τὰ ἐκείνου παρεικάσωμεν. ὧν μέν τοι καὶ μείζονα συναγαγεῖν πειρασώμεθα. Ἐπιλόγῳ δὲ χρησώμεθα, ἢ ἀπειλοῦντι τοῖς ἴσοις ἀμείψεσθαι, ἢ δεινοπαθοῦντι, ἢ ἄλλως πως ἀντιτείνοντι:

μάτων δεῖται γενέσθαι ζημαίτητος; οὐδ᾽ ἂν ἐκεῖνο φαίης. πᾶσα ἀνάγκη ἐπίσκοπον ἐφιστάναι τῇ ἐκκλησίᾳ. οὐκ ἐπιλείψει τῷ θεῷ στρατιῶται. μελήσει πάντως προνοίᾳ, οἷς μέλλει προνοίας. ἀλλ᾽ οὐδ᾽ ὅτι καλὸν ἡ ἐπισκοπή, παρὰ τοῦτο καὶ τὸν τυχόντα τρόπον ταύτης ἔξεστιν ἀντιποιεῖσθαι. τὸ γὰρ καλὸν οὐκ ἔστι καλὸν κατὰ τὸν εἰπόντα, εἰ μὴ καλῶς γίνηται. ἐῶ λέγειν ὅτι σου τοὺς μακροὺς πόνους ἐν τῇ περὶ φιλοσοφίαν σχολῇ μάτην ἀποδείξεις καταβεβλημένους. οὐδὲν γὰρ ἄλλο ἀρχαὶ καὶ προεδρίαι, ἢ ἀχλὺς καὶ βαθὺ σκότος πρὸς τὴν τῆς ἀληθείας κατάληψιν. καὶ ὅρα μὴ ταὐτὰ πάθῃς τῷ αἰσωπείῳ κυνί. ὃς ἀντὶ τῆς σκιᾶς, τὸ ἀληθινὸν ἀπώλεσε βρῶμα:

Τύποι τῶν ἀναφερομένων εἰς τὸ δικανικὸν γένος.

Περὶ Κατηγορικοῦ.

Κατηγορία μὲν ὡς Ἀριστοτέλης ὡρίσατο, ἁμαρτημάτων ἐστὶν ἢ ἀδικημάτων ἐξάγγελσις. ὅθεν καὶ κατηγορικὸς τύπος, ὁ τούτων αὐτῶν ἐξαγγελτικὸς ἂν εἴη. ἀμφότερα δὲ τά τε ἀδικήματα, καὶ τὰ ἁμαρτήματα, περὶ πράξεις λόγους τε καὶ προαιρέσεις συνέστηκεν. Ἀλλ᾽ ὅταν μὲν ἐπὶ πονηρίᾳ τινὰ ἐγκαλοῦμεν, ἄδικα ταῦτα, καὶ τοῖς κειμένοις ἀντιβαίνοντα νόμοις ἀποδεικτέον. Ἐπειδ᾽ ἂν ἐπὶ βελτηρίᾳ, καὶ αἰσχρά, καὶ ἀηδῆ, καὶ ἀσύμφορα, καὶ τὰ παραπλήσια, τηνικαῦτα δὲ ὁ χαρακτὴρ πρὸς τὸν ψεκτικὸν ἀπονεύσει. Ἡ τοίνυν πρὸς φίλους κατηγορία ὑφειμένη τε εἶναι βούλεται καὶ ἀμβλεῖα. τὸ μὲν αὐστηρὸν παραιτουμένη τῶν λόγων καὶ ἐναγώνιον. πρὸς δὲ τὸ μεμπτικώτερον ἀποκλίνουσα. ὅθεν αὐτὴν κατασκιάσασα, οὐχ ὅπως τῷ ἀδίκῳ καὶ παρα-

νόμῳ

ἢ οὐ πρόδηλον πᾶσι, μηδὲ τὸν συνετώτατον ἢ φιλοπονώτατον, ὁπωσοῦν δύνασθαι τῶν πραγμάτων ἐλθεῖν εἰς ὄνησιν. ὡς νῦν ἔχει τὰ τῆς ἐκκλησίας; τί γὰρ ἕξει λόγος ἔνθα κρατεῖ λόχος; ἐπιστήμης γὰρ τὰ νῦν οὐδὲν δέον, ἀλλ' ἰσχύος, ἀλλὰ χρημάτων, ἀλλὰ δέλων καὶ δωροδοκίας; ὧν εἰ καὶ σμικρά σοι μέτεστιν, ἀλλὰ τοῦ κρίνεσθαι κατὰ ταῦτα μεθέξεις οὐ μετρίως. πρὸς δὲ τούτοις, τοῖς μὲν φίλοις οὐ τὴν τυχοῦσαν μνηστεύσεις λύπην. ὥσπερ καὶ τοῖς ἐχθροῖς οὐ μετρίαν τὴν ἡδονήν. οἳ τί οὐ ποιοῦσιν ἢ λέγουσιν, ἐφ' ᾧ σε ἐνειλημμένον εἴδωσιν ὄχλῳ θορύβων τῶν ἐκκλησιαστικῶν. ὥσπερ ἐν πίττῃ φασὶ τὴν μυῖαν; Ἀλλ' εἰ ταύτην ἀποποιήσαιο τὴν ἐγχείρησιν, ἀπαλλάξεις εὖ οἶδα τούτων ἁπάντων σαυτόν. κἂν τὸ χρεὼν ἐπέλθῃ, ἵνα μὴ τἄλλα λέγω, τῶν ἐκεῖσε κριτηρίων, ἵνα μὴ εἴπω κολαστηρίων, οὐ δείσῃ τὰς τιμωρίας, αἳ τοὺς τοιούτοις ἐκδέχονται. καὶ γὰρ ὁμοίως οὐκ ἀνέγκλητον, τόν τε μόλις σωζόμενον ἐν λιμένι διὰ τὴν τοῦ χειμῶνος τραχύτητα, ὅλοις ἄραντα τοῖς ἱστίοις, μεγάλα πελάγη καταπολμᾶν. καὶ τὸν μόλις καθ' ἑαυτὸν ἐφ' ἡσυχίας φιλοσοφεῖν δυνάμενον, ἄλλων ἐπιχειρεῖν προστασίας. δι' ἧς καταφθορᾷ ἑαυτὸν σὺν τοῖς ἄλλοις ἀπολέσοντα. εἰ γὰρ τὸ ἠδικηκότι, κἂν μὴ εἰδότι, ὡς καὶ εἰδότι ἡ δίκη ἀπόκειται, τί χρὴ λογίσασθαι περὶ καὶ εἰδότι; ἢ πού πικρὰ τὰ ἐπιτίμια, καὶ ὅσα τοῖς δι' ἀπειροστασίαν ἐξολοθρεύουσιν ὀφείλεται. ἔστι γὰρ οὐ τῶν λογίων φησὶν ὁ Θεὸς πρὸς τοὺς ποιμένας. Εἴπερ ὁ ἄνομος μὴ ἀποστραφῇ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ὑμῶν ζητήσω. σοὶ δὲ πῶς ἔσται ἀποστρέψαι τὸν ἄτοπον τῆς πονηρᾶς ὁδοῦ, ὅλος ἐν ἀνομίαις καλινδούμενος; οἷα δή που τοὺς νῦν ἐπισκόπους παρὰ πᾶσιν ὁμολόγειται; εἰ μὴ εἴγε οἶόν τι τὸ τῆς παροιμίας, ἄλλοις θεραπεύειν τοὺς ἰδίοις βρύοντας ἕλκεσι. τίνα γὰρ ἂν παῤῥησίαν ἕξει πρὸς θεὸν διαβὰς ὅλου δήμου προΐξασθαι, ὃς οἰκείων ἕνεκα πλημμελημάτων

ἕνεκα καὶ τῆς ἀνέκαθεν συνηθείας, ἥπερ ἡμᾶς σφόδρα διαθέσει συνῆψεν ἀλλήλοις. τὸ δὲ καὶ μᾶλλον, ὅτι κοινὰ οἴδασιν οἱ πολλοὶ τὰ ἡμέτερα. καὶ τὰ θατέρου εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα, περιάπτουσιν ὡς εἰκὸς τῷ ἑτέρῳ. ὅθεν εἰ καί σοι τολμηρὸς δόξω οὐ μεμπταῖος τῆς παῤῥησίας. Λέγει μὲν περί σου παρ' ἡμῖν ἡ φήμη, μᾶλλον δὲ συχνοὶ τῶν αὐτόθεν ἀφικνουμένων, σὲ μετὰ τῇ χολῇ χαίρειν φράσαντα, ἐπὶ τὸ πρεσβυτέρου ὅλως κεχηνέναι ἀξίωμα. ὅπερ οὐκ ἂν εἶχον πιστεύειν, εἰ μὴ παρὰ τὸ πλῆθος τῶν ἀγγελλόντων εἶχε τὸ ἀξιόπιστον. Ἔστι γὰρ τῷ ὄντι καὶ συνέσει τῇ σῇ καὶ δόξῃ ἀνάξιον, τοῖς τε θείοις νόμοις ἀντιβαῖνον, καὶ οὐδὲ παρὰ τοῖς πολλοῖς ἐπαινούμενον. καὶ μάλιστα θρόνος τοιοῦτος ὃν ἐπιβαλέσθαι σε λέγεται. ὃς πρὸς τῷ κομιδῇ ἐστερῆσθαι ὅσων τῷ θρόνῳ καθήκουσι, καὶ οἱ ὑπ' αὐτὸν τελοῦντες, ἅπαξ καὶ δὶς ἀνιαθέντες παρ' ἐπισκόπων, ὁμοίως πρὸς ἅπαντας ἀπεχθῶς διάκεινται. τὸ λειτούργημα ἔστι μὲν καὶ παρ' ἑαυτοῦ θεῖον. ἀλλὰ τέγε νῦν ἐστὶν οἷς μικρόν τι νοῦς μέτεστι, κἂν τοῖς ἐχθροῖς εὔξαιντο. ἐπεὶ θεῖα καὶ ἀνθρώπινα μονονουχὶ φωνὴν ἀφιᾶσι, κωλύοντά τε καὶ ἀναστέλλοντα ἕκαστον τῶν ἐν τῷ παρόντι ἐκκλησιαστικῆς διοικήσεως, ἵνα μὴ λέγω δουλοπρεποῦς τυραννίδος. πόσον οὖν οἴει παρὰ τοὺς πολλοὺς ὀφλήσομεν γέλωτα, εἴπερ ὧν τοὺς ἄλλοις λόγοις δεῦρ' ἀεὶ παρῃνοῦμεν ἀπέχεσθαι, τούτοις αὐτοὶ νῦν ὀφθείημεν ἁλισκόμενοι ἔργοις; καὶ πῶς οὐ μανία σαφὴς προὖπτοις ἑαυτὸν δεινοῖς ἐμβαλεῖν, καὶ ταῦτα μηδεμιᾶς οὔσης κατεπειγούσης ἀνάγκης, ἢ ὠφελείας ἐλπίδος; ὥσπερ γὰρ εὔηθες ἀρχὴν ἀποποιεῖσθαι τὴν ἐπωφελῆ καὶ τιμῆς πρόξενον, οὕτω διώκειν περιπετὲς τὴν ἐπιβλαβῆ καὶ ἀτιμίαν παραίτιον. καὶ τὸ μὲν, τῶν ἄγαν τολμηρῶν. τὸ δὲ, τῶν λίαν δειλῶν. καὶ ἀμφότερα μετὰ τοῦ κανόνος ἐκπίπτοντα: Εἶτα πῶς οὐ δεινὸν, ὀνόματος χρηστοῦ προεδρίας τὰς μεγίστας ἀλλάξασθαι τῶν συμφορῶν;

ἢ οὐ

καὶ προαιρέσεις. ἐκείνῳ μὲν, ἢ δίκαια, ξυμφέροντα, καὶ τὰ ἑξῆς. τούτῳ δὲ, τοὐναντίον, ἢ ἄδικα, ἀσύμφορα, αἰσχρὰ, δυσχερῆ, καὶ τὰ τοιαῦτα. Εὔνοια δὲ πρὸς τοὺς ἀκροωμένους, καὶ ἐμπειρία τῶν περὶ ὧν ὁ λόγος, ἀγαθὸν σύμβολον παντὶ λόγῳ. προτρέποντι δὲ ἢ ἀποτρέποντι, καὶ ἀναγκαία. ὡς ἀποτρέποντες εἰκῇ ἀμφιβάλλονται, τὴν ἀρχὴν κατασκευάσομεν. Εἶτ' ἀφ' ὧν ἡ προτροπὴ ταῦτα ἐκθέμενοι, ἐπὶ τὰς πίστεις χωρήσομεν. Καὶ πρῶτον ἀπὸ τοῦ προσώπου, πρὸς ὃ ὁ λόγος, τὰς ἐκείνου ἀρετὰς καὶ πράξεις σπουδαίας ἐπαινοῦντες, τὴν τε εὐγένειαν, σοφίαν, ἀξίαν καὶ εἴ τι τοιοῦτον ὑπομιμνήσκοντες. οἷς μή τι πράξῃ ἀνάξιον, πάσῃ φυλακῇ προσηκέον λέγοντες. Εἶτα καὶ ἀπὸ τῶν προσώπων εἰ τύχοι ὑπὲρ ὧν ἡ ἀποτροπὴ, τὴν ἀκαιρεότητα, τὴν φιλίαν, τὴν χάριν, τὴν ἔνδειαν, τὴν θλῖψιν, τὴν ταλαιπωρίαν, εἴ τι τοιοῦτον τύχοι πρὸς τὸν ἐκείνοις λαμπρῶς διηγούμενοι, καὶ αὐξήσωμεν. εἰ δέ τις καὶ εἴη καθ' οὗ τὴν ἀποτροπὴν ποιούμεθα, τούτου ὠμότητα, μῖσος, κακοτεχνίαν, καὶ εἴ τι παραπλήσιον ἐνδέχεται, πιθανῶς κατηγορήσωμεν. Κἆτα ἀπὸ τῶν μελλόντων, ἐλπίδας, δόξαν, φήμην ἀγαθὴν ἐπαγγελλόμενοι, παιδείαν, τιμὴν, ἔπαινον, πλοῦτον, ἡδονὰς, βίον γαλήνιον, καὶ ὅλως τὸ συμφέρον. μὴ δεξαμένῳ δὲ τὴν παραίνεσιν, ἀτιμίαν, ἔνδειαν, πόνους, ἐνοχλήσεις, καὶ ὅλως τὸ ἀσύμφορον, ἀπό τε προσδοκίας τῶν φίλων, καὶ δυσνοούντων ἐλπίδος, ὡς ἀνωτέρω εἴρηται. Ταῦτα δὲ καὶ αὐξήσωμεν παραδείγμασιν, ἐκ πάντων μὲν, μάλιστα δὲ τῶν οἰκείων, καὶ οἷς ἐκεῖνος τυγχάνει ἐνάμιλος. ἔκ τε τοῦ ὁμοίου καὶ ἐναντίου καὶ ἐνδόξου, καὶ τἆλλα ὡς ἐν τῷ προτρεπτικῷ εἴρηται:

Ὑπόδειγμα.

Εἰ μὴ δεῖ πολλοῦ τὰ σὰ ἐποιούμην, ἢ φθόνου πάντως, ἢ εὐηθείας γραφὴν ἂν ἔφυγον παρὰ τοῖς εἰδόσι τὰ καθ' ἡμᾶς. τοῦτο μὲν, τῶν ἀμοιβαίων εὐεργετημάτων

κατέστησεν. ἔμοιγε γὰρ οὐκ ἀνεκτὸν ὅλως ἐδόκει, ὃν ὡς εὐεργέτην προσῆκε τιμᾶσθαι, ὡς ἀδικοῦντα καταδικάζεσθαι. καὶ τὴν μὲν ἐπιείκειαν, ἐν ἄγοις τάττεσθαι τάξει. τῇ δὲ κολακείᾳ, τὰ τῆς εὐσεβείας ἀπονέμειν πρεσβεῖα. ἄλλως τε καὶ κατὰ τὸν Ἰσοκράτην, ἀλαβητέον ἡγοῦμαι τὰς διαβολάς. καὶ γὰρ ὡς ἐκεῖνος φησὶν, οὐ πάντες εἰσὶν ἀληθείας θηραταὶ, δόξῃ δὲ μᾶλλον ἀγόμενοι τὰ πολλὰ κρίνουσιν. Ἀλλά σοι μὲν χάρις, ὅτι μοι τοῖς γράμμασι τὸ λυποῦν ἀπεκούφισας. ἐκεῖνοι δ' εὖ οἶδα ὑφέξουσι πάντως τὴν δίκην, ὑπὲρ ὧν ἀδίκως κατ' ἐμοῦ ἐψηφίσαντο. ἐμοὶ δὲ (εἴ τις ἐστὶ λόγος τοῦ δικαίου παρὰ θεῷ) καὶ χάριν ἐλπίζω οὐ τὴν τυχοῦσαν ἔσεσθαι παρ' αὐτοῦ, ἀνθ' ὧν μου κατεψεύσαντο. ὥς που καὶ αὐτὸς ἔφησθα περαίνων τὰ εἰκότα. ἀλλὰ καὶ μετ' οὐ πολὺ τὰς σκιὰς παρελθεῖν καὶ τὰ ἐσκευωρημένα τούτοις ἐξελεγχθέντα, τὴν ἐπ' ἐμοὶ συκοφαντίαν δημοσιευθήσεσθαι. κἂν γὰρ πρὸς καιρὸν ἐπιπροσθῇ τῇ ἀληθείᾳ τὸ ψεῦδος, οὐ μᾶλλον ἢ τῷ ἡλίῳ νεφέλη. ἀλλ' ἀναθεῖ πάλιν καὶ διάδηλος γίνεται, οὐχ ἧττον, ἢ ὥς φησιν ἡ κοινὴ παροιμία, ἐν ὑδατώδη φύσει τὸ ἔλαιον:

Περὶ Ἀποτρεπτικοῦ χαρακτῆρος:

Εἶχεν ἂν ἀποχρώντως καὶ πρὸς ἀποτροπὴν, ὅσα περὶ προτροπῆς ἀνωτέρω εἴρηται, τῷ προκειμένῳ τοῦ λόγου σκοπῷ. ἡ αὐτὴ γὰρ ἐστὶ προτρεπτικοῦ χαρακτῆρος μέθοδος. πλὴν ὅτι ἐκ τῶν ἐναντίων λαμβάνεται. τὰ δὲ ἐναντία τῷ εἰδότι ὧν εἰσὶν ἐναντία, πάντως ἀείδηλα. πρὸς σαφεστέραν μέντοι διδασκαλίαν, ἔδοξέ τινα καὶ περὶ ἀποτροπῆς ἐν μέρει εἰπεῖν. Εἰ μὲν οὖν ἡ προτροπὴ παράκλησις ἐστὶν ἐπὶ προαιρέσεις, ἢ λόγους, ἢ πράξεις, δῆλον ὅτι καὶ ἀποτροπὴ ἔσται ἡ ἀπὸ τούτων διακώλυσις. καὶ ἀποτρεπτικὸς χαρακτὴρ, ὁ ἀπὸ τῶν αὐτῶν ἀναστέλλων. Ὅθεν καὶ ὕλη ἀμφοῖν, πράξεις, λόγοι,

καὶ

πάθους μεγέθει, τὰς τῆς ἐπιστολῆς ἴυγγας ἐπαινέσωμεν, καὶ τῷ φίλῳ χάριτας ὁμολογήσωμεν, ἧς ἡμῖν ἐνειργάσατο διὰ τῶν γραμμάτων διαθέσεως: Ἢν δὲ τοῦτο μὴ δόξῃ, τῆς ἀθυμίας τὸ ὑπερβάλλον τῆς συμφορᾶς ἀσπασώμεθα. ἥτις ἡμῶν τοῖς πένθεσιν ἐμβατεύσασα τῆς ψυχῆς, οὐδεμίαν συγχωρεῖ παραμυθίας παρείσδυσιν. οὐδ᾽ ὄναρ ἀνιεῖσα τῶν κέντρων τῆς μνήμης:

Ὑπόδειγμα.

Σὺ μὲν ὦ φίλῳ εἰκὸς παραινεῖς, καὶ τοῖς λόγοις ὡς φαρμάκοις ὑποπενθέσι πειρᾷ κατακυλίσαι μοι τὴν τοῦ πάθους δυσχέρειαν. ἀλλ᾽ ἔστι καὶ ἰατρὸν μηδὲν ἐξανύειν κυρίως ἐπιπάσσοντα τῷ πάθει τὰ φάρμακα, ὁπηνίκα τὸ πάθος ἀνίατον. καὶ λόγον ὁμοίως μένειν ἄπρακτον, κἂν ᾖ μάλα δραστήριος. Ἐμὲ γὰρ οὐδ᾽ ἂν Ἑρμῆς αὐτὸς ὁ λόγων πατὴρ πιστευόμενος τοῖς πάθοις μεταρρυθμίσειεν. οὕτως ἐγενόμην τῇ συμφορᾷ ὑποβρύχιος. καὶ πολλάκις τῆς λύπης ἀνεθῆναι βουλόμενος, τὴν μνήμην ἔχω κεντοῦσαν οἵων ἐστέρημαι. καί με ἀντιπεριάγει τὸ ἐναποτεθὲν προχειρίζουσα τοῦ παιδὸς ἴνδαλμα. ὃν ἐγὼ μᾶλλον ἡδόμην ὁρῶν, ἢ τὸν ἥλιον. φεῦ, τῶν ἐμῶν ὀμμάτων τὴν λαμπηδόνα ἀφῄρημαι. τὸ ζῆν μοι λοιπὸν, οὐδ᾽ ὡς ζῆν ὅλως νομίζεται. Ὡς τραγικοῦ δράματος. ὢ δαίμονος ὄντος ἀλάστορος. Ἀλλὰ γὰρ περαιτέρω γράφειν οὐκ ἐπιτρέπει τὰ δάκρυα:

Ἄλλο.

Οὐ μετρίως ὁμολογῶ διετέθην περὶ τὴν ἀλόγως πρώην κατ᾽ ἐμοῦ ἐνεχθεῖσαν ψῆφον. καί μοι ἐδόκει ἡ ὕβρις τῶν ἀνυποίστων. μάλιστα ὅτι ὑπὸ τοιούτων, οἵγε καί τινα ἔχειν τοῦ δικαίου λόγον πιστεύονται παρὰ τοῖς πολλοῖς. Κἂν φορρωτέρῳ τὸ πρᾶγμα προήχθη, καὶ μείζω συνέβη τούτων καὶ χείρω, εἰ μὴ τὰ παρὰ τῆς ἱερᾶς σου συνέσεως γράμματα προέφθασε ἀποδοθέντα μοι. ἅπερ οἷά τινα παιώνια φάρμακα, τὸ τραχύ μου τῆς ἀθυμίας καταλεήναντα, ἀπὸ τῆς ἀμετρίας τῶν δυσφορῶν, ἐπὶ τὸ γαληνότερον τὴν ψυχήν μοι

ὄντος τοιούτου, ἐφ' ᾧ δυσχεραίνεις, οὐ δοκεῖ. κἂν γάρ σε τῆς ἐκκλησίας ἀπείρξαντο, οὐ παρὰ τοῦτο καὶ ἐλυμήναντο. τὰ γὰρ μέσα ἀπὸ τοῦ τέλους κρίνεσθαι πέφυκε. τὸ δὲ κοινωνεῖν ἐκκλησίας, εἰς ἁγιασμοῦ κοινωνίαν καὶ χάριτος τὴν ἀναφορὰν ἔσχηκεν. Εἰ τοίνυν ἔξεστι καὶ μὴ μεταλαγχάνοντι ὡς οἱ λοιποὶ τῆς ἐκκλησίας, τὸν ἁγιασμὸν ὡς ἐκεῖνοι καρποῦσθαι καὶ χάριν, μᾶλλον δὲ ὑπὲρ ἐκείνους ὡς ὁ τοῦ ἁγιασμοῦ πρωτουργὸς καὶ χαρίτων διδάσκει, ἐν οἷς τοὺς τῆς δικαιοσύνης ἕνεκα διωγμοὺς μακαρίους ἡγεῖται, τί δεῖ σοι τοῦ κοινωνεῖν ἐκκλησίας; ἐμοὶ μὲν δοκεῖ σε πεπονθέναι μὲν οὐδὲν δεινὸν παρ' ἐκείνων, κερδᾶναι δέ τι καὶ μᾶλλον ἐν αὐτῷ τῷ τοῦ ἁγιασμοῦ τε καὶ χάριτος λόγῳ κἂν ἐκεῖνοι μὴ βούλωνται. τὸ γὰρ μηδὲν ἀδικοῦντα ἐκκλησίας ἀπείργεσθαι, τοῦτ' αὐτὸ τῆς θείας ἐστὶ πρόξενος χάριτος, καὶ ἁγιασμοῦ προσθήκη μᾶλλον ἢ ἔκπτωσις. Ἀλλ' εἴπως σε καὶ ἀδικεῖσθαι δίδωμεν, ἀλλά τοι καὶ κατὰ Πλάτωνα, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζόν ἐστι κακόν. ἔχεις πολλοὺς τοὺς συναδικουμένους, καὶ πλείω καὶ μείζω πάσχοντας. τὸ δὲ κοινωνοὺς τοῦ πάθους ἔχειν, πάντως οὐ μικρὰν τὴν παραμυθίαν μνηστεύεται. μὴ οὖν ἀγανάκτει. ἡνίκα γὰρ τὴν διάνοιαν καθαρὰν ἔσῃ, σαυτῷ ἕξεις ᾠκειωμένον τὸ θεῖον ᾧ γε συνόντι, τῶν τοιούτων σαλμωνιαίων μελέτω σοι μηδὲν ἀπειλῶν, εἰ γὰρ ὁ Θεὸς μεθ' ἡμῶν, τὸ ἱερὸν φησὶ λόγιον, τίς καθ' ἡμῶν;

Ἀπάντησις πρὸς τὸν Παραμυθητικόν:

Ἐδὲ πρὸς τὸν παραμυθητικὸν ἀπαντῆσαι δέον, τὴν μὲν παραμυθίαν ὡς ἀπὸ φιλοστόργου διαθέσεως καὶ εἰς σύνεσιν ἀπηκριβωμένην, οὐ τῆς τυχούσης ἐροῦμεν παρ' ἡμῖν ὑποδοχῆς τετυχηκέναι. Καὶ εἰ μὲν δόξῃ μεθαρμοσθέντας ἡμᾶς πρὸς τὸ ἀνεκτότερον ἀποφῆναι, μὴ διαλαβουμένοις τῷ τοῦ

πάθους

τοῦ δὲ ἐν τῷ βίῳ οὐκ ἔστιν οὐδ' ὄναρ ἀμοιρῆσαι, μὴ καὶ δυσχερέσιν ἀναπεφυρμένου. ἐφ' οἷς σε δέον καὶ χάριτας ὁμολογεῖν τῷ χρεών, εἴτε σου τὸν παῖδα τῆς περιστατικῆς ταύτης καὶ κακοδαίμονος διαγωγῆς ἀπαλλάξαντι· μὴ ὅπη γε δυσχεραίνειν· καὶ ταῦτα ἐπ' οὐδενὶ τέλει χρησίμῳ. σαυτῷ τε γὰρ τὸ λυπούμενον τοῦ βίου ἐντήκεις κακῶς, κἀκεῖνον οὐδὲν ὠφελεῖς. ἀλλ' ὅ φησιν Εὐριπίδης, Σοφὸν κἂν δεινοῖς τι χρὴ δρᾶν ἐννοεῖν. Χρὴ δὲ ὑπὲρ μὲν τῶν ἀποιχομένων, ἐξιλεοῦσθαι τὸ θεῖον. τοῦτο γὰρ καὶ λυσιτελές, καὶ ἄλλως ὅσιον. σαυτὸν δὲ εἰδότα ἐν σώματι, τὰ εἰκότα τῷ μετὰ σώματος βίῳ ἀφοσιοῦσθαι.

Ἄλλο.

Ὅσον ἐγὼ δυσχερῶς διετέθην τὴν περὶ σὲ ἀδικίαν πυθόμενος, τί χρὴ καὶ λέγειν; πάνυ μὲν οὖν. πῶς γὰρ οὐκ ἔμελλον, ὃν ἐχρῆν εἶναι παρὰ πᾶσιν αἰδέσιμον, ὡς ἀποτρόπαιον ἀκούων κρινόμενον; καὶ ταῦτα ὑπὸ τούτων, οἵ τινες εἴπερ εἰκὸς τῶν ἀδικουμένων (ὡς μάλιστα θρυλλεῖται) ὑπέρμαχοι, οὐκ ἂν δικαιοτέραν ἤνεγκον ψῆφον, ὅ τι μή σοι τὴν νικῶσαν ἐπιψηφίσαντες. ἀλλὰ δῆλον ὡς μικρὰ τοῦ καλοῦ καὶ τοῦ δικαίου οἱ τοιοῦτοι φροντίζουσιν. ἴσασι γὰρ πάντες οἷα κακουργοῦσι θείοις καὶ ἀνθρωπίνοις ἐνυβρίζοντες νόμοις. ἔτι οὐκ εἰς μακρὰν χαιρήσειν εὖ οἶδα. πᾶσι γὰρ ἤδη δι' ἀπεχθείας εἰσίν. ὧν τὸ τυραννικὸν μισοῦντες τοῦ τρόπου, ἐλευθεριάζουσιν ἅπαντες. καί γε εἰκός. οὐδὲν γὰρ βίαιον μόνιμον. τὸ δὲ ἄδικον, καὶ καθ' ὑπερβολὴν βίαιον. ἢν δὲ μή, ἀλλὰ γοῦν ὑφέξουσι πάντως τὴν δίκην τῷ ἐφόρῳ τῶν νόμων, περὶ ὧν κατὰ τῶν νόμων ἀσελγαίνειν τολμῶσι. σὲ δ' οὐκ ἔδει ἀπαραμύθητα δυσφορεῖν ἐφ' οἷς δέδοκται ἐκείνοις, διὰ πολλῶν ἐλθόντα, καὶ τοῦ ἀνθρωπίνου βίου ὅσον ἐστὶ τὸ ἀνώμαλον πείρᾳ μεμαθηκέναι, ὡς καὶ παραινεῖν ἄλλους, οὐχ ἧττον διὰ τῆς πείρας ἢ φρονήσεως δύνασθαι. καὶ μάλιστα οὐκ

ὄντος

Ὑπόδειγμα.

Οἶον οἷά με τὴν ψυχὴν διατέθηκε τὴν ἄωρον τοῦ χρυσοῦ τοῦ ὄντι παιδὸς ἀκούσας τελευτήν; πάνυ μὲν οὖν ἀφιλοσόφως, καὶ ἀνῴμωξα, καὶ δακρύων ἀφῆκα πηγάς, καὶ πολλὰ κατεμεμψάμην τὸν δαίμονα, ἐφ᾽ οἷς ἀφιλανθρώπως διάκειται τὰ πρὸς σέ. χρῆν γὰρ εἰ δυνατὸν, ἥκιστα τοιοῦτον ἄνδρα ἀνιᾶν· ἢν δὲ μὴ, ἀλλὰ γοῦν ὡς ἐλάχιστα. Ἀλλ᾽ ἴσως μὲν καὶ ταῦτα οὐκ ἀλυσιτελῆ. τίνι δὲ λόγῳ; οἶδε πάντως ἡ πρόνοια. ἀνθρώποις δὲ φέρειν εἰκὸς ὁποῖα ποτ᾽ ἂν ᾖ, καὶ ὅπως ἂν ἔχοι τὰ παρ᾽ αὐτῆς ἐπαγόμενα. καὶ ταῦτα ἡμῖν καὶ ἡ πολυετὴς πεῖρα, ἢ μᾶλλον ἡ ἐπ᾽ ἀμφότερα μεταβολαῖς ἐγγυμνάζουσα, καρτερικωτέρους ἀπέφηνε. καὶ ἡ ὑπόθεσις μόνην ἐφιεῖσα ζημίαν ὑπολαμβάνειν τὴν ἀπὸ τῆς ἀρετῆς ἔκπτωσιν καθίστασθαι τοῖς πολλοῖς εἰς φιλοσοφίαν ὑπόδειγμα βούλεται. οὐ γὰρ Ἐπικτήτῳ δοκεῖ, πεπαιδευμένου μὲν δεῖν, οὔθ᾽ αὐτὸν ἐν τοῖς λυπηροῖς, οὔτε τῶν ἄλλων τινὰ αἰτιᾶσθαι. ἀλλ᾽ εἰδότος ὡς οὐδὲν οὕτως ἀνήκεστον, ὃ μὴ ἀνθρωπίνῃ τύχῃ προσδόκημα, πρὸς τὰ ἀντιπίπτοντα παρεσκευάσθαι. εἰ γὰρ καὶ ψυχὴν ἔλαχεν ἀκήρατον ἄνθρωπος, καὶ διὰ τοῦτο ἔντιμον. ἀλλὰ καὶ ῥευστῷ σκήνει συνέζευκται, καὶ διὰ τοῦτο λύσιμον. καὶ οὐκ ἔστιν ὅ,τι τῶν προσδοκωμένων παρὰ πόδας ἀνθρώπῳ, ὡς θάνατος. Ἆρ᾽ οὖν παρὰ τοῦτο σε χρὴ ἀνιᾶσθαι ἀπαραμύθητα, ὅτι θνητὸς ὢν, θνητά τοι καὶ πέπονθας; τοῦτο γὰρ ἂν κλάειν πειρωμένων εἴη τ᾽ ἄκλαυστα. Ἀλλ᾽ ὅτι πρόωρος τέθνηκε δυσφορεῖς; καὶ τί δ᾽ ἂν εἴποιεν οἱ τοῖς παισὶ καὶ τὴν μητέρα συνεκφέροντες; οἱ ὑπὲρ δυοῖν ἔσθ᾽ ὅτε καὶ τριῶν ἅμα τῇ αὐτῇ κεχρημένοι σορῷ; καὶ ταῦτα μηδενὸς ὑπολειπομένου τοῦ κλήρου; οἶσθα δή που οἵαις συμφοραῖς τὸ ταλαίπωρον τῶν ἀνθρώπων περιστοιχίζεται γένος. μεστὴ μὲν καὶ γῆ καὶ θάλαττα, φόνων· ἐρίδων· ἐπιβουλῶν· ἐρινύων· καὶ ἄλλων μυρίων δυσαντήτων κακῶν· ἀγα-

θοῦ

δείξομεν· ἐφ᾽ ὃν πάντες ῥοπῇ ἀναγκαίᾳ τῆς φύσεως ἐπειγόμεθα. καὶ οὐκ ἴσμεν εἰ καὶ μετ᾽ οὐ πολὺ σὺν ἐκείνῳ ἐσόμεθα: Τρίτον ἀπὸ τῶν περιστατικῶν. μάλιστα δ᾽ ἀπὸ τοῦ τέλους δεικνῦντες τοῦ συμβάματος προσηκόντως τι τῷ πεπονθότι συμφέρον. ἢ ἐπὶ τὸ σῶμα ἀνῆκον, ἢ εἰς ψυχήν. ἐπὶ δὲ θανάτου, καὶ τῷ κατοιχομένῳ. οἷον φέρε εἰπεῖν, Εἰ παρήλιξ καὶ γέρων ἦν ὁ ἀπελθών· ἄλις τὴν τῆδε ἐρεῦμεν ἀπόλαυσιν, εἰ ὅλως ἀπόλαυσιν καὶ μὴ τιμωρίαν καλεῖν χρὴ τὴν ἐν τῷ δε τῷ βίῳ διατριβήν. ὅτι τὸ γῆρας ὡς παγχάλεπον τύραννον ἐξέφυγεν, τοσαῦτα καὶ τηλικαῦτα τοῖς γεγηρακόσιν ἐπάγον ἀνιαρά· ὧν καί τινα ὑπομνήσομεν. Εἰ δὲ πρόωρος ἡ τελευτή, ταύτην μακαρίσομεν, ὡς τὴν, τῶν τοῦ βίου δεινῶν ἁπάντων συλλήβδην ἀπαλλαγὴν, πρὸ τοῦ γευθῆναι καὶ πεῖραν δοῦναι. καὶ ἅμα τινὰ τούτων ἀπαριθμησώμεθα. φθόνους. ἐπιβουλίας. πόνους. ταλαιπωρίας. κινδύνους κατά τε γῆν, καὶ κατὰ θάλατταν. δικαστῶν τὸ πικρόν. τυράννων τὴν ὠμότητα. δούλων τὸ κακεντρεχές. φίλων τὸ ἄπιστον. καὶ τὰ ὅμοια: Σκοπεῖν δὲ χρὴ καὶ τί ποιῶν τέθνηκεν, ἢ τί λυπηρὸν πέπονθεν. εἰ ἀριστεύων, ἢ ἀγωνιζόμενος ὑπὲρ εὐσεβείας, ὑπὲρ δικαίου, ὑπὲρ πατρίδος, οἰκείων, φίλων, καὶ τῶν ὁμοίων. ἀπὸ γὰρ τούτων ἁπάντων ἐς παραμυθίαν εὐπορήσομεν ἐπιχειρήματα. Τελευταῖον δὲ, καὶ τὸ πένθος εἴτ᾽ οὖν ἀγανάκτησιν, ἀσύμφορον δείξομεν. τὸ γὰρ ἤδη πραχθὲν, οὐκ ἔστιν ὅπως ἄλλως ἕξει. καὶ ὅτι τὴν παράκλησιν ἀφέλκεται. τῷ δὲ ἐποιχομένῳ, μὴ ὅτι γε ἀνωφελὲς, ἀλλὰ καὶ ἐπιζήμιον. Δεῖ δ᾽ ὅλως τὸν παραμυθηκότα, τὴν τοῦ δεινοπαθοῦντος διάθεσιν τηρεῖν. ἐνίοτε γὰρ καὶ ἐπιπλῆξαι ἐστὶν εὐθὺς ἐν προοιμίοις ἀθυμοῦσι τοῖς φίλοις. εἴπως μέν τοι ταύτῃ τῆς ἀθυμίας ἐπισχεῖν δυνάμεθα. ὡς ὁ Θεοφύλακτος ἐν τῇ ἐννάτῃ τῶν ἠθικῶν. Πέρας δὲ, βραχὺ ἐπιλόγῳ εἰς εὐθυμίαν προτρεψόμεθα, καὶ λύπην τῶν ἀνιώντων:

Ὑπό-

τὴν ἀνιαρῶν ἔφοδον. τοιαῦτα δ' εἰσὶ, τά τ' ἐκτὸς ἀγαθὰ, καὶ τὰ τοῦ σώματος. καὶ ἑνὶ λόγῳ, ὅσα τῆς τοῦ χρόνου ἢ τύχης ῥοπαῖς ὑποπέπτωκεν. ἐφ' οἷς ἀγάλλουσιν ἄνθρωποι. ὥσπερ οὖν ἐπὶ τοῦ συγχαριστικοῦ ἀπὸ τῆς ἡδονῆς ἀρκτέον ἐλέγομεν, ἣν ἐπὶ τῇ τῶν φίλων εὐπραγίᾳ ἐκαρπωσάμεθα. οὕτως ἐπὶ τοῦ παραμυθητικοῦ ἀπὸ τῆς λύπης, ἣν παρεξένησεν ἡ συμφορὰ τούτων, περιαλγεῖν ἡμᾶς φάσκοντες καὶ συνάχθεσθαι, οὐχ ἧττον, ἢ ἡμεῖς ἦμεν οἱ πεπονθότες. καὶ ἅμα τὸ μέγεθος τῶν ἐκείνοις συμβάντων ἀλγεινῶν, πανδήμοις πενθολογίαις, καὶ ἐπὶ ἀποιμώζοντες ὑπομνήσομεν. Χρὴν δ' ὅμως λέγοντες μὴ ἀπαραμύθητα δυσφορεῖν ἐπὶ τῷ γεγονότι. ἀλλὰ μετρίως φέρειν, κἂν βαρὺ δοκῇ καὶ δυσπαρηγόρητον: Εἶτα τὰς πίστεις ἐπισυνάψομεν. καὶ πρῶτον ἀπὸ τοῦ προσώπου πρὸς ὃ τὸ παραμύθιον. καὶ εἰ μὲν τῆς παιδείας ἀντιποιούμενον εἴη, ὡς οὐδέν ἐστιν, ὅ, τι οὐ φορητὸν ἀνδράσι σοφοῖς, παρ' οἷς οὐδενὸς λόγου ἀξιοῦται τὰ τῇδε, οὔτε καὶ ὡς ἑτέρως ἔχοντα. ἢ ὅτι καὶ τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν κηρύττουσι, καὶ κρείττους εἶναι παθῶν ἐπαγγέλλονται: Εἰ δὲ μὴ τοιοῦτος, ἀλλά τις τῶν ἐν ἀξιώμασιν, εἰ μή τις παντάπασιν ἔκλυτος καὶ θηλυπρεπὴς, αἰσχρὸν εἶναι φήσομεν, ὡς στερρῷ καὶ βεβηκότι τὴν διάνοιαν, θηλυπρεπέστατα κατασπᾶσθαι τῷ πένθει. ὃν ἐχρῆν τούς τε ἄλλους νουθετεῖν, καὶ τῆς κοινῆς φύσεως μὴ ἀγνοεῖν τὸ ταλαίπωρον. Ὅλως δὲ τὰ εἰκότα τῷ προσώπῳ συνορᾶν χρή. Κἆτα ἀπὸ τοῦ συμβάντος. ὡς οὐδεινόν. ταράττει γὰρ ἡμᾶς τὰ πολλά; οὐ τὰ πράγματα. ἀλλ' αἱ περὶ τῶν πραγμάτων ὑπολήψεις. ὡς κοινὸν ἀνθρωπίνῃ φύσει. ὅτι καὶ μείζω καὶ πλείω τοῖς πᾶσιν ἐπήρτηται. πλεῖστοι δὲ καὶ τὰ χαλεπώτατα ἤνεγκαν. ὧν καὶ ὑποδείγματα ἐξοίσομεν. καὶ τῶν ἀλλοτρίων παθημάτων ἐλάττω τὰ ἐκείνου συνάξομεν. ὅπερ ἐν ταῖς παραμυθίαις δεινότατον ἐστὶν ἐπιχείρημα. ἡνίκα δ' ἐπί τινος θανάτῳ τὴν παραμυθίαν ποιούμεθα, καὶ ἀναγκαῖον δείξομεν.

ἐδείκνυε. Πέπομφα γοῦν σοι τῶν ἀλφίτων αὐτίκα τῶν γραφιῶν ἀναγνοὺς, μεδίμνους πλείω ἢ τέτταρας. λιμοῦ ἀλεωρὴν καθ' Ἡσίοδον. πέμψω καὶ ἐς αὖθις: Πρὸς δὲ τὴν τοῦ ψύχους ὕβριν, τῶν χαραδρίων ἐπέταξα ὑπερπληρῆ τὴν φορτηγὸν ἄκατον κομισθῆναι σοι. δι' ὧν ἔσται σοι καὶ τῶν ὀρῶν ἀντιμηχανήσασθαι, καὶ τεχνητεῦσαι θάλπος ὥρᾳ χειμῶνος. λόγοις τε πάλιν ἀνακαλεῖται καὶ Μούσας, εἰ βούλη δὲ καὶ τοὺς τέττιγας. Σὺ δ' ἄλλα τῶν ἐμῶν εἴπη σοι καλαθύμιον, ἀπαιτῶν γράφε. εὖ ποιῶν γὰρ ἔσῃ τὰ μάλιστα, φίλοις εὖ ποιεῖν ὑποθέσεις πορίζων μοι:

Ἄλλο.

Χάριν αἰτήσας διὰ γραμμάτων, ὅλην ἐμοὶ τὴν χάριν ἐνέταξας· οὐ μόνον σοῦ διαθέσεως ἕνεκα τῆς περὶ ἐμὲ, καὶ τρόπων χρηστότητος, ἀλλὰ δὴ καὶ ἀρετῆς τοῦ συνισταμένου. καὶ τὸ πλέον, ὅτι τοῖς ἡμετέροις ἠξίωσας χαρίσασθαι. ἐκεῖνο μόνον ἐδόκει χάριτος ἐλλειπὲς, τὸ χάριν αἰτεῖν, δι' οὗ τὸ μή σε πάνυ θαῤῥεῖν ἡμῖν ὡς φίλοις ὑπεσημαίνετο. εἰ γὰρ τὰ τῶν φίλων κοινὰ, ὡς παλαιὸς βούλεται λόγος, αἰτεῖν οὐκ ἔδει, ἀλλ' ἀπαιτεῖν. Καὶ ταῦτα ὑπὲρ ἀνδρὸς τοιούτου. ὃς καὶ ἀρετῆς ἕνεκα τῆς αὐτοῦ, πάντων ἐστὶν ἐπιτυχεῖν ἄξιος, ὧν ἐσμὲν κύριοι. καὶ ταύτης εἰ παντάπασιν ἐτύγχανεν ἄμοιρος ὢν, ὅτι μὲν τοι φίλος σὸς, ἔτι ἂν ἀξιώτερος εἴη τυχεῖν τῶν αὐτῶν:

Περὶ Παραμυθητικοῦ χαρακτῆρος.

Παραμυθία ἐστὶν, ἀποτροπὴ ἀθυμίας. παραμυθητικὸς δὲ τύπος, ὥσπερ ἐπὶ τοῖς τῶν φίλων χρώμεθα δυσχερείαις. ἀπὸ τῆς τραχύτητος τοῦ δυσφορεῖν, εἰς τὸ λειότερόν τε καὶ γαληνότερον τὴν ἐκείνων ψυχὴν μεταπειθόμενοι. Ὕλη δ' αὐτοῦ, ἢ τῶν ὄντων ἢ δοκούντων ἀγαθῶν ἀποβολὴ ἢ παρὰ

τῶν

ἐνταῦθα πολλῆς δεῖται καὶ τῆς ἐπιτεχνήσεως, μή που λύσαντες τὴν φιλίαν δόξωμεν. ζημιωθῆναι οὖν ἐν τοῖς καιρίοις ἐροῦμεν, τὴν αἰτουμένην χάριν εἰς ἔργον ἀγαγεῖν μὴ δυνάμενοι. ἀγάλλοντες δ' ἅμα καὶ τὴν τύχην καταιτιώμενοι, ὡς ἀντίξουν προθυμίᾳ τῇ ἡμετέρᾳ, οὐδ' ἡμῖν αὐτοῖς συγχωρήσασαν εἶναι χρησίμοις, οὔτε τοῖς φίλοις. ὃ καὶ μᾶλλον ἡμᾶς ἀνιᾷ. ἀλλὰ καὶ εἰς τὸν καιρὸν, καὶ τὰ κατ' ἐκεῖνον συμβαίνοντα, τὰς αἰτίας δεῖν ἀναγαγεῖν. ὡς μὴ συνᾴδοντα προαιρέσει τῇ περὶ τὴν ὑπουργίαν. καὶ ἐπὶ τἄλλα τῶν παρακλητικῶν ὁμοίως ὡς ἀντιπαράθοντα. Ἔστι δ' ὅτε καὶ εἰς τὴν ἀπορίαν, ἣν οὐκ ἔστιν ἡμῖν ἐκνικῆσαι κἂν ὅτι πλεῖστον ἐσπουδακόσιν. Ὅλως δὲ τὴν μὲν προαίρεσιν προθυμοτάτην ὡς οἷόν τε δείξωμεν. τὴν δ' ἀπορίαν, ἤ τι τοιοῦτον, καταιτιασώμεθα. Ἀνδρὸς δὲ ἔργον, οὐ τὸ ὑπουργῆσαι τὰ μὴ ἐφικτὰ, ἀλλὰ προθυμηθῆναι τὰ δυνατά. ὅθεν χρῆναι τὸν φίλον φήσομεν τῆς προθυμίας σκοποῦντα τὴν διάθεσιν, τὸ ἐν ἔργοις ὑποδεὲς μὴ καταμέμψασθαι. Τέλος δὲ τὴν χρῆσιν ὧν ἐσμὲν κύριοι κομψῶς ὑποσχήσωμεν. ὧν εἴτε δεηθείη, ὄψει καὶ χολοῦ δρόμον ἐροῦμεν, τὸ παροιμιακόν.

Ὑπόδειγμα:

Ἡδέα μὲν σου τὰ γράμματα. καὶ γὰρ εἰς κάλλος κομψείας ἐξήσκηται. ἐμοὶ δὲ ἡδίω, ὅτι παρὰ σοῦ. ἐπεὶ καὶ τοῖς ποθοῦσιν, ὅσα τῶν ποθουμένων γνωρίσματα. τὸ δὲ καὶ χάριν αἰτεῖν, ὅτου περ ἄν τις εἴποι, ἡδονῆς ἔμοιγε κρεῖττον; τούτου γάρ μοι τῶν προσόντων ἀπόνασθαι οἴομαι, ὅπερ ἂν τοῖς φίλοις εἰς ὄνησιν γένοιτο. καὶ τοῦ μεγάλου τῶν Μακεδόνων Ἡγεμόνος διὰ τοῦτο τὴν φύσιν ζηλῶ, κἂν τῆς δυνάμεως ἀπολείπωμαι. ὃς περσικῶν λαφύρων τῶν πολυτελῶν ἐκείνων καὶ ἰνδικῶν λιθάκων, τοὺς φίλους προὐτίθει. καὶ νὴ δία πρὸς τοὺς θησαυροὺς ἠρηκότι θεάσασθαι, τοὺς φίλους ἐδείκνυε.

αὐτῷ τούτῳ καλαπιμοθῆναι τῷ κόσμῳ πιστεύεται, ἐφ᾽ ᾧ τοῖς δεομένοις κοινὸν ὄφελος γίνηται.) ἀλλὰ καὶ διὰ τὴν ἀρετὴν τοῦ χρήζοντος βοηθείας. ἥτις ὀλίγοις τῶν καθ᾽ ἡμᾶς ἐστὶν ἐφάμιλλος. προσθείς δὲ εἰ βούλῃ, ὅτι καὶ φίλος ἐμὸς ὁ ἀνήρ. καὶ τὸ μέγιστον, ὅτι καὶ δικαίων δεόμενος. ἵνα μέν τοι σου τῇ προαιρέσει τὰ εἰκότα χαριζόμενος δόξω, τὴν ἐπιστολὴν ἐπιδέδωκα καὶ ὅπως τοῦ καθάπαξ ἐντυχεῖν σοι παράσχοιμι πρόφασιν. ᾧ γε τοσούτῳ ἥδιον χαριῇ, ὅσῳ καὶ μᾶλλον αὐτῷ ὁμιλήσεις. εἴσῃ γὰρ ἄνδρα καὶ συνετὸν ἐς τὰ μάλιστα, καὶ τοῖς σοῖς τρόποις ἁρμόζοντα, καὶ τῆς ἐμῆς οὐκ ἀνάξιον φιλίας. ὅτι καὶ τῆς χάριτος, εἴπερ τις ἄλλος ἀμνήμων οὐκ ἔσται, ἐκ τῶν τρόπων εἴσῃ τῶν τοῦ ἀνδρὸς ὁμιλήσας:

Ἀπάντησις πρὸς τὸν Αἰτητικὸν καὶ Συστατικὸν χαρακτῆρα.

Πρὸς τὴν αἴτησιν ἀπαντῶντες, εὐμενέστατα μὲν ἐρεῦμεν ἐντετυχηκέναι τοῖς παρὰ τοῦ φίλου γράμμασι. καὶ ἡδονὴν οὐ τὴν τυχοῦσαν ἡμῖν ἐμποιῆσαι, τοῖς ἡμετέροις χρῆσθαι ἀξιώσαντα. τοῦτο γὰρ καὶ μόνον παραπολαύειν ἥδιστα φήσομεν, ὅταν ἂν ἀπαιτοῦσι τοῖς φίλοις γινοίμεθα χρήσιμοι. Καὶ εἰ μὲν τῷ αἰτήματι συγκαταθέσθαι ἀξιώσωμεν, λαμπρὰς τὰς περὶ τούτου ὑποσχέσεις ποιήσομεν. καί πως καὶ μεμψόμεθα, ἢ τὴν αἴτησιν ὡς περὶ μικρῶν, καὶ ὅτι μὴ καὶ πλείω καὶ μείζω ἡμῖν ἐπιτάττει, ἵνα καὶ χαρισώμεθα τοσοῦτον, ὅσον καὶ βουλόμεθα. ἢ τὸν τρόπον, ὅτι διὰ πλειόνων καὶ δι᾽ εὐλαβείας μᾶλλον ἢ κατὰ τὴν ἡμετέραν πρὸς ἐκεῖνον διάθεσιν. Πέρας δὲ καὶ ἐς τοὔμπαλιν παρατρεψόμεθα μὴ αἰτεῖν ἡμᾶς εἴ του δεήσει τῶν ἡμετέρων, ἀλλ᾽ ἀπαιτεῖν. εἰδὼς ὅτι κοινὰ τὰ τῶν φίλων. καὶ τὰ τοιαῦτα.

Ἢν δ᾽ ἀνανεύσωμεν, μὴ δόξαν ὑπουργῆσαι τῇ ἱκεσίᾳ.

Ὑπόδειγμα.

Πάλιν ἐν ἐπιεικείαις ἐγώ, καὶ πάλιν ὁ δρόμος πρὸς σέ. καί μοι δοκεῖ ἐπ' αὐτῷ τούτῳ τὰς δυσχερείας ἐπιτείνειν φιλοτιμεῖσθαι τὸν δαίμονα, ἐφ' ᾧ σοι μείζους τὰς τοῦ εὖ ποιεῖν ὑποθέσεις πορίζοιμι. οἶδα γὰρ καὶ σὲ τῷ εὖ ποιεῖν χαίροντα, κἀμὲ μὴ παρ' ἄλλου λαβεῖν ἔχοντα. Θέρους γοῦν μοι ἐπικαταλάξασι τοῦ λιμοῦ, μικροῦ δεῖν τὸν τεττίγων τὸν βίον ὁμοδίαιτον ἔδειξεν. εἰ δ' αὐτὸς μὴ ἐπήρκεσας, κἂν μετὰ τῆς ᾠδῆς ὡς ἐκεῖνοι τὸν βίον ἐξήνυσα. καὶ τάχα μύθου παρέσχον τοῖς μεταγενεστέροις πρόφασιν. ὡς ἄρα τις μουσῶν φίλος λιμῷ τελευτήσας, εἰς τεττίγων φύσιν μετέβαλε. νυνὶ δὲ μετὰ τοῦ λιμοῦ καὶ κρυμὸς ἐπισκήψας τὴν ἄλλην καὶ μουσικῆς ἀπεστέρησεν. αἱ Μοῦσαι γὰρ ἀνιαθεῖσαι τῷ κρύει, κατέλιπόν με, ὡς τὸ ἐκ σιδήρου γένος ἡ νέμεσις. καὶ οὔ φασιν ἐπανακάμψειν ὡς ἂν μὴ τὸν κρυμὸν ἀπελάσας, ἐκμεμυκυίας αὖθις ἀνειμένην τὴν ψυχὴν ἀποφῆναι μοι. οἱ δὲ λόγοι τοῦτ' ἐκεῖνο πτερόεντες ᾤχοντο. δεινοὶ γὰρ ἐκεῖνοι ἐλευθερίας εἰσὶν ἐρασταί. καὶ οὐκ ἂν φέροιεν λιμῷ καὶ ψύχει ἀπαραιτήτοις τυράννοις δουλαγωγούμενοι. δικαίως ἄν τις φαίη, ὡς ἀνήκεστα πέπονθα. Ὁ δέ σου τὸ πρὸς πάντας οὐκ ἀγνοῶν φιλόστοργον, καὶ τὰς πρὸς ἐμὲ σοῦ χάριτας ἐπιστάμενος, οὐδὲν εὖ οἶδα δείσῃ περὶ ἐμοῦ μή τι πάθω τῆς σῆς ἀνάξιον φύσεως, ἀλλὰ πάλιν ἐρεῖ τῷ συνήθει τρόπῳ περὶ τὸν ἄνδρα χρήσεται, Μούσαις διαλλάξας καὶ λόγοις, τῇ παρ' αὐτοῦ [illegible] χάριτι. ναὶ πρὸς μουσῶν καὶ λόγων αὐτῶν, ὦ μουσῶν καὶ λόγων ἐμοὶ τιμιώτερε.

Ἄλλο.

Σὲ μὲν πρὸς εὐποιΐαν τὸν φίλον παρακαλεῖν, ταυτὸν εὖ οἶδα καὶ ἵππον ἐς πεδίον ἀφεῖναι, τὸ τῆς παροιμίας. οὐ μόνον διὰ τὸ εὐεργετικόν σου τῆς προαιρέσεως (ἥτις ἐπ'

αὐτῷ

Ἢν δὲ τὴν αἴτησιν ὡς ἀργαλέαν, ἢ λυπηρὰν, ἢ αἰσχρὰν, καὶ τὰ παραπλήσια, αἰδώμεθα, πρός τε τὴν διάθεσιν τοῦ εὐεργετήσοντος ὑπόπτως διακείμεθα, πότερον ἐπινεύσοι τοῖς αἰτουμένοις, εἰ τὴν ἀξίωσιν ἀποκρούσηται, οὐ γυμνὴν ἐξοιστέον τὴν αἴτησιν· ἀλλὰ πολὺ πρότερον πειρατέον τὴν ἐκείνου γνώμην πρὸς τὸ ἡμῖν εὐαγωγότερον μεθαρμόσαι, καὶ πρὸς συγκατάθεσιν παρασκευάσασθαι. τὰ μὲν παρ' ἡμῶν αὐτῶν, τὰ δὲ ὑπὲρ ὧν τὰς αἰτήσεις ποιοῦμεν· εἴπερ ἀξίους τῆς παρ' ἐκείνου χάριτος ἀποφανοῦμεν· ἀρχὴν μὲν τῆς κατεπειγούσης ἀνάγκην ἐντέχνως ἐξοίσομεν. Εἰ δέ τι καὶ εὖ πεπονθότες ἐσμὲν παρ' ἐκείνου, οὐχ ὅπως ἀφηγησόμεθα, ἀλλὰ καὶ λαμπρῶς ἐπαινέσομεν. καὶ ὅτι τὰ νῦν, εἴπερ ποτὲ τοιούτων τυχεῖν ἀξιοῦν, τούτοις τὴν οἰκειότητα ἐποιήσαμεν, μεθ' ἣν ἐκεῖνον τῆς πρὸς ἅπαντας αὐτοῦ ἐπιεικείας καὶ στοργῆς ὑπομνήσομεν. ἐξαίροντές τε καὶ ἐγκωμιάζοντες, ἢ καὶ τεθαρρηκότες τὴν αἴτησιν πεποιήκαμεν. Καὶ εἰ μὲν εἴη καὶ πρότερον εὐεργετηκὼς, καὶ ταύτην προσυπομιμνήσκειν τὴν χάριν εἰκὸς, λέγοντας, μὴ τὰς πρώτας τῆς ἑξῆς ἀτιμάσει, κἀκείνας οὐκ εἰς ἀσπούδαστον ἀνηλωκέναι δόξει. Ἢν δὲ πρώτην ταύτην αἰτοῦμεν, διὰ τοῦτο ἐροῦμεν ὅτι πρώτην ἀποτυχεῖν οὐ δεῖ, οὐ δὲ τῇ ὁρμῇ ἐλλιπῆ φανῆναι τὰ πράγματα. ἢ τοῖς τε ἄλλοις καὶ ἡμῖν πιεζομένοις ἐπ' ἐκεῖνον τὸν δρόμον ἠνέῳξεν. Εἶτα τὸ αἰτούμενον πάντη ἀδύνατον ἀποφῆναι πειρασόμεθα, δίκαιον, ἔννομον, καὶ τὰ ἑξῆς. εἰ δὲ μὴ οἷόν τ' εἴη, ἀλλὰ γοῦν ἡμῖν ἀναγκαῖον, κἀκεῖνο ῥᾴδιον, ἢ λυσιτελές· καὶ ἅμα τὸν τρόπον ὡς ἂν εὐπετέστερον ἐς πέρας ἀχθείη ὑποθήσομεν. Ἀπεροῦντες δὲ, ἢ διὰ τὸ ἐργῶδες ὀκνοῦντες, τῇ ἐκείνου μεγαλονοίᾳ παριέναι ἐροῦμεν· ἡμεῖς δὲ τὴν ἀπὸ τοῦ εὐεργετήματος ὄνησιν, ἢ δόξαν, ἢ ἔπαινον, μάλιστα δὲ μνήμην ἀΐδιον ὑποσχήσομεν, ἐκλιπαροῦντες μὴ καταπροέσθαι ἡμᾶς ἐν τοσαύτῃ τῶν πραγμάτων ἀκμῇ.

μοι ἀνακόπτει τὴν προθυμίαν. ταῦτα μὲν τῆς παιδείας ἀναχαιτίζει. πόνους δὲ καὶ ἱδρῶτας ὅσων καὶ δεῖται παιδεία, ἤδειας ἂν ἠπιστάμην. καί σε ἐκλιπαρῶ εἴπερ ἔχει διδάξαι με ὅπῃ οἷόν τ' ᾖ, καὶ τὴν πενίαν ἀποφυγεῖν. καὶ τὴν παιδείαν ἱκανῶς κτήσασθαι. οὕτω γὰρ ἂν καὶ αὐτὸν ἐμὲ πλεῖστα εὖ πεποιηκὼς ἔσῃ, καὶ εἰς ἔργον ἀχθείη τὰ δόξαντα.

Περὶ Αἰτητικοῦ καὶ Συστατικοῦ χαρακτῆρος.

Ὁ αἰτητικὸς χαρακτήρ, καὶ ὁ συστατικὸς ἑαυτῷ συμπέπλεκται. ὁ μὲν γάρ ἐστι τινὸς ὧν ἐφιέμεθα αἴτησις. ὁ δὲ, τὰ μὲν ἄλλα ὁ αὐτὸς ὤν, τῷ δι' ἑτέρου γένεσθαι διενήνοχε. τῶν ἐφετῶν δὲ, τὰ μὲν εἰσι καθ' αὑτά, ἃ καὶ βουλητὰ τῷ φιλοσόφῳ καλεῖν φίλον. τὰ δὲ πρός τι τούτων ὧν ἐφιέμεθα ἀναφέρονται. ἢ ἐφ' ᾧ τῶν ὑπαρχόντων ἀγαθῶν διαρκεστέραν ποιήσωμεν τὴν διαμονήν, καὶ μὴ προσόντα κτησώμεθα. ἢ ὅπως διακωλύσει τῶν προσδοκωμένων ἀνιαρῶν, καὶ διαφυγῇ τῶν ἐπικειμένων. τοιαῦτα δ' εἰσὶ τὰ ἐκτὸς ἀγαθά, ἐφ' οἷς καὶ τὰς αἰτήσεις ὡς ἐπὶ τὸ πλεῖστον ποιούμεθα. Ἐκεῖνο μέντοι ἰδιαίτερον ἡ σύστασις ἔχει, ἔπαινον τῶν συνισταμένων, καὶ γνῶσιν ἢ ἀναγνώρισιν τῶν αὐτῶν· ὥστε εἶναι ᾠκειωμένοι ἡμῖν τε κἀκείνοις οἷς αὐτοὺς συνιστῶμεν. Πρὸ πάντων παραγγέλλω ἐπὶ τῆς αἰτήσεως δύο ταυτὶ παρατηρεῖν δέον. τίνα ἐστὶν ἅπερ αἰτοῦμεν. καὶ τίνες παρ' ὧν ταῦτα ἀξιοῦμεν λαβεῖν. εἰ μὲν γὰρ τὸ αἴτημα σύμφορόν ἐστιν ἡμῖν τε, καὶ οἷς αἰτοῦμεν, καὶ προσέτι ῥᾴδιον καὶ δίκαιον, καὶ τὰ ἑξῆς, ἀνυποστόλως αἰτήσωμεν, ὀλίγ' ἅττα προανακεκρουκότες, ἐφ' ᾧ τὴν τοῦ ἀκροατοῦ εὔνοιαν ἐπισπασώμεθα. εἶτα τὴν ἔνδειαν τῶν αἰτουμένων ἐπισυνάψαντες, ἀνάγκαιον ἐς ἀεὶ τὴν ἀκρασίαν παρεγγυήσομεν. ὡσαύτως καὶ ἐπὶ τῆς συστάσεως, ἡνίκα ὁ συνιστάμενος τοιούτων δεόμενος τύχοι.

Ἡρ

στι μεγίστη χάρις ἀμφοτέρων ἕνεκα. καὶ ὧν φιλεῖς. καὶ ὧν παραινεῖς κηδόμενος. Τῆς οὖν ἀξίας εἰ καὶ μὴ κατὰ τὴν ἐμὴν ἀγωγὴν καὶ προαίρεσιν, μελήσει μέν τοι, ἔτι μοι καὶ τῆς ἱερᾶς ἐκλογάδος δολίως παρασυρομένης καὶ διαλυομένης οἰκοδώματα. ἀλλὰ καὶ τῶν ἐπηρεαζόντων τὸ κακεντρεχὲς ὑφορώμενος, καὶ νεμεσῶν τὴν προσποίησιν. οἷς οἶμαι μικρὰ τοῦ λοιποῦ τοῖς ἡμετέροις ἐφησθήσεσθαι ἀτυχήμασιν, εἰ τῆς παρὰ θεοῦ μόνον προνοίας ἔρημοι μὴ ἀπολειφθείημεν:

Ἄλλο.

Καὶ τῆς νῦν οὐχ ἧττον πρὸς ἐμὲ σου ἐπιμελείας, ἢ τῆς ἀνέκαθεν εὐνοίας, πλείστας ὁμολογῶ σοι τὰς χάριτας. καὶ γὰρ ἐξ ἀρίστης ἅμα γνώμης καὶ εἰλικρινοῦς διαθέσεως ἡ προαίρεσις. διό με καὶ μᾶλλον πεποίηκεν δυσαναχετεῖν, τῷ μὴ δοκεῖν ἔχειν ἔργοις ἐνδείκνυσθαι τὸ προτεθυμημένον. ἡ γὰρ τῆς παιδείας κτῆσις, καὶ αὐτῶν ἀπειλεῖ μοι τὴν ἀναγκαίων ἀφαίρεσιν. Ἐξ ὅτου γὰρ εἰς τοῦτο ἦλθον τῆς ἡλικίας, ὥς τι κρίνειν ἔχειν τῶν ἐν τῷ βίῳ, πλείσταις ὡμίλησα ταῖς φροντίσιν, ὡς σου πάντως ἡ ἱερὰ οὐκ ἀγνοεῖ σύνεσις. προϊούσης δέ μοι τῆς ἡλικίας, καὶ αὗται συνεπιδίδονται. καὶ πλείστων ὅσων ἀχολιῶν μοι παραίτιοι γίγνονται. ὡς εἴγε βουληθείην ποτὲ ἀποσείσασθαι, αὐτίκα καὶ πατρῷα πάντα φροῦδα καὶ ἴδια. ἐγὼ δὲ μήτ' ἀντιπαλαίειν τοῖς ἀπὸ τῆς πενίας δεινοῖς οἷός τ' ὤν, καὶ τὴν ὑπερηφανίαν τῶν πλουτούντων οὐκ ἀνέχομαι. οἶδα γὰρ ὅσον ἐστὶν ὁ πένης χρῆμα εὐκαταφρόνητον. περὶ δὲ τὸν πλοῦτον πάντες ἐκτείνονται. εἰ γὰρ τῆς παιδείας ἀντιποιεῖσθαι βουληθείην, πᾶσαν λοιπὸν ἀποθέσθαι φροντίδα χρεών. εἰ γὰρ ὁ βίος ἅπας βραχὺς (κατὰ τὸν εἰπόντα) πρὸς μιᾶς τέχνης ἀπέκλησιν, πῶς ἂν παιδείαν ἐνέξοι ὁ ὑπὸ τοσούτων φροντίδων ἐνοχλούμενος; σχολία βίου οὐκ ἀξιοῖ συνυπάρχειν τῇ κατὰ φιλοσοφίαν σχολῇ. Ταῦτα

θρώποις μεταπιπτόντων τε καὶ διαρρεόντων, ὡς καὶ ἡ καθ' ἡμέραν πεῖρα, ἐναργῶς ἐκδιδάσκει. καὶ τί δεῖ μηκύνοντα ἐνοχλεῖν; τίνος ἂν ἄλλου ἐν ἐφέσει γένοιτ' ἄνθρωπος, ὅς παρὰ πᾶσι μὲν εἴη περίβλεπτος, τῶν δ' ἀναγκαίων τῷ βίῳ δεόμενος οὐδενός; ὃ δὴ καὶ μόνη παιδεία τοῖς οἰκείοις χαρίζεται λατρευταῖς. ἧς εἰ μὲν συντονώτερον ὀρέγεσθαι ἀξιώσης, νύκτωρ καὶ μεθ' ἡμέραν ὡς οἷόντε ἐπιμελούμενος, οἶδα ὅτι σαυτὸν οὐ μετρίως ὀνήσεις, κἀμὲ ὡς εὐνοοῦντα ἐπαινέσεις. εἰ δ' ἄλλως σοὶ δόξῃ (ἐπίπονος καὶ ἱδρώτων ἀνάπλεως ἡ περὶ ἐκείνην φροντίς) πρὸς καιρὸν μὲν ἴσως τρυφῇ ἐπαρκέσεις. μετ' οὐ πολὺ δὲ τὰ ὅσα ὄψει τῶν περιτρεχόντων σειρήναις ἔνθα πύθεται ὄμβρῳ.

Ἀπάντησις πρὸς τὸ Συμβουλευτικὸν.. ἢ Προτρεπτικὸν χαρακτῆρα:

Ἀπαντήσομεν δὲ πρὸς τὸ συμβουλευτικὸν, ἢ προτρεπτικὸν χαρακτῆρα, χάριτας ὁμολογοῦντες τῷ συμβουλεύοντι τῆς πρὸς ἡμᾶς εὐνοίας. καὶ εἰ μὲν δέδοκται ἅπερ ἐκείνῳ βουλομένῳ ἦν, ταῦτα ἐπαινέσομεν. καὶ τὴν προτροπὴν, ὡς λυσιτελῆ, ἢ δίκαιον, ἢ ἔννομον, καὶ τὰ ἑξῆς, μεγίστης ἀποδοχῆς παρ' ἡμῶν ἠξιῶσθαι ἐροῦμεν. καὶ ὡς ἐς τέλος ἄξομεν τὴν ταχίστην δηλώσομεν. Ἢν δὲ μὴ, αἰτίας ἐξοίσομεν τὰς ἀξιολόγους. δι' ἃς οὐχ οἷοί τ' ἐσμὲν ἐκτελέσαι ἃ προτρεπόμεθα. καὶ ταύτας ἀναθεωρῆσαι τὸν φίλον ἐκλιπαρήσομεν, καὶ ἐξαῦθις πρὸς ἡμᾶς ἀπαντῆσαι:

Ὑπόδειγμα.

Καὶ πάλαι σου τὸ πρὸς ἐμὲ φίλτρον εἰδὼς, νῦν οὐχ ἥκιστα καὶ τὴν σύνεσιν ἄγαμαι. ἑκάτερα γὰρ ἐς ἄκρον τοῖς πρὸς ἐμέ σου γράμμασιν ἐμφαίνεις ἐνόντα σοι. ὡς μὲν ἀγχίνους συνεὶς τὰ ἄριστα. ὡς δὲ φίλος συμβουλεύων τὰ κάλλιστα. καὶ

μύλος κἂν αὐτὸς εἴποις, εἰ καὶ λίαν ἐπιεικὴς εἶ, καὶ παιδίον τοῦ λανθάνειν. ἀλλὰ βούλει σοι εἴπω παρεγγυμίαν εὔχρηστον σύντομον, ἢ ἀληθῆ; ὅρα μὴ τὴν ἑτέραν ἀφεὶς τὸν πόδα διώκων, οἷς μὲν σαυτὸν καὶ τοὺς ἄλλους πάντας ὑστερῶν· δι' ὧν δὲ καὶ σαυτὸν προσαπελέσεις ἀπρὶξ ἀντεχόμενος:

Ἄλλο.

Τῶν ἐπαινουμένων μὲν καὶ ἄλλως ἡ πρὸς ἀρετὴν τῶν νέων παράκλησις. καὶ ταύτης πρὸς εὖ φρονοῦντα γινομένη, καὶ παντὸς ὁτουοῦν κέρδους ἐλπίδος ἀπηλλαγμένη. ἐμοὶ δὲ καὶ ἀναγκαῖον ἐν τοῖς μάλιστα ἡ πρὸς σὲ νουθεσία. οὐχ ὅπως διὰ τὸ ἐπάγγελμα. ἀλλὰ δὴ καὶ τὸ ἐπ' ἐμοὶ τῶν σε τεκόντων ἐλπίδος. Ἔγωγε οὖν καὶ τοῖς παρὰ τῆς τύχης εὐῤῥοεῖν σε δεῖ πολλοῦ ποιοῦμαι. καὶ τῶν ὅσα ἀξιάγαστα τῶν ἐν ἀνθρώποις εὐπορεῖν. ἀλλὰ τοσοῦτον ἀπολαύειν, ὅσον ἀφοσιώσασθαι τῷ τοῦ σώματος βίῳ. καί σοι μὲν ἐπωφελὲς οὐδενὶ δὲ τῶν ἄλλων εἰς ἐνόχλησιν ἧκον. ὅλῃ δὲ ψυχῇ ἀνθεκτέον παιδείας. ἥπερ ἡμῖν σοφίαν τε οἶδε πορίζειν καὶ ὄνησιν. δι' ὧν τά τε ἐκτὸς ἀγαθὰ συντηρεῖται, καὶ τὰ ἤθη κοσμεῖται, καὶ ἡ ψυχὴ τελεωτέρα καθίσταται. οὐ γὰρ ἐστὶν ἀπόβασις τῶν παρὰ τῆς τύχης ἡ παιδεία, ὡς ἔνιοι κακῶς νοσοῦντες ᾠήθησαν. ἀλλ' εἰς αὐτὰ ταῦτα μᾶλλον ἐστὶν ἐπανάβασις. αὕτη γὰρ τῆς τῶν φαύλων ἡμᾶς συνηθείας ἀπαλλάττει. τὰς ἐν ἀγορᾷ μέμφεται διατριβάς. τὰς τριόδους διαβάλλει. τὸν λογισμὸν οὐκ ἀφίησιν εἰς ἀλλοκότους ἐννοίας παρενεχθῆναι. καὶ τὸν ἄνθρωπον τοῦτ' αὐτὸ ἄνθρωπον ἀπεργάζεται, ἵνα μὴ θεὸν εἴπω καὶ ἡγεμόνα τῶν ἄλλων. τοῖς μὲν πολίταις ζηλωτόν. τοῖς δὲ φίλοις ἐράσμιον. τοῖς οἰκείοις χρήσιμον. τοῖς ἀλλοτρίοις ἀπόβλεπτον. ἐν μὲν ταῖς δυσπραγίαις θαρσαλέον, καὶ ἀκατάπληκτον. αὕτη μόνη καὶ ζῶντι καὶ τελευτήσαντι παραμένει τῷ κεκτημένῳ, πάντων τῶν ἐν ἀν-

εἰς τὴν αὐτῶν σε προσκαλοῦσιν ἀντίληψιν. οὐδὲν ἀνθέξειν οὐδὲ ἀνακαλούμενον. καὶ δέος μὴ καὶ γέλωτα τοῖς πολλοῖς ὀφλισκάνωμεν ἐθελοκακοῦντες. ἔστι γὰρ ὥσπερ προεδρίαν διώκειν τὴν μὴ προσήκουσαν προπετὲς, οὕτω καὶ τὴν προσήκουσαν ἀντεπαγγελτὸν παροῦσαν ἀποποιήσασθαι εὔηθες. καὶ τὸ μὲν, τῶν ἄγαν τολμηρῶν. τὸ δὲ, τῶν λίαν δειλῶν. καὶ ἀμφότερα καταγνωσμένα. Ἄλλως τε, καὶ εἰ ταύτης μεταποιήσαιο, τοῖς τε πράγμασι σωτηρίαν, σαυτῷ τε πρὸς τὴν ἐντιμίαν, τοῖς τε φίλοις εὖ ποιεῖν περιποριεῖ, καὶ παρ' ἐχθρῶν μὴ βλάπτεσθαι. οἳ τινα κάλων ἢ λίθον οὐ κινοῦσι μή σε ὢν ἐν πολλῇ τοῦ κωλύσοντος ἐρημίᾳ διασυλοῦσι συλλήπτορας ἴδωσι. παρεωραμένους δὲ, τὰ μὲν φεύγειν πάντα. σαυτὸν δὲ, ἵνα μὴ τἄλλα λέγω, τοῖς ἐκεῖ σε κριτηρίοις, εἴθε δὲ μὴ καὶ κολαστηρίοις καθυποβαλεῖς. ὁμοίως γὰρ ὑπεύθυνοι καὶ τὸν οἰακοστροφεῖν εἰδότα τοῦ σκάφους ἐνδείᾳ τοῦ οἰακίζοντος περιτρεπομένου, μὴ ἀντιλαμβάνεσθαι. καὶ τὸ Χριστοῦ ποίμνιον εἰκῇ τε φερόμενον καὶ γινόμενον ἐν ἐρημίᾳ ποιμένος θηρσὶ παρανάλωμα, δυνάμενον, μὴ περιποιήσασθαι. εἰ γὰρ τῷ βουληθέντι μὲν εὖ ποιῆσαι, κἂν μὴ δυνηθέντι, ὡς πεποιηκότι ἀπόκειται ἡ ἀντιμισθία τῆς προαιρέσεως· τί χρὴ νομίζειν τῷ μηδὲ βουληθέντι, καὶ ταῦτα δυναμένῳ; ἢ πάνυ πικρὰ τὰ ἐπιτήμια, καὶ ὅσα τοῖς δι' ἀνεπιτασίαν ἐξολοθρεύουσιν ὀφείλεται. ἔστι γὰρ οὐ τῶν λογίων φησὶν ὁ Θεός. Καθὼς ἀπώσασθαί με τοῦ εἶναι εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀπώσομαι ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασιλέα. οὐ γὰρ δὴ ἐκεῖνο φαίης ἄν, ὡς τῷ ζηλοῦντι δῆθεν τοὺς πάλαι μακαρίους ἄνδρας οὐκ ἀνθεκτέον ἀρχῆς. ποῦ γὰρ ὦ μακάριε σύ; πότε τὸ Χριστοῦ γεώργιον χρῆζον βοηθείας ἐκεῖνοι παρεῖδον, ἢ ἀπηνήσαντο; οἷς ὁ πᾶς βίος ὑπὲρ ἐκείνου ἀγὼν εἷς διετέλεσεν; ἀλλ' ἡ τῆς ἀρχῆς ἀποχώρησις, τοῖς κρείττοσιν ἦν παραχώρησις. νυνὶ δ' οὔπω πάντες εἰς σὲ κεχήνασι. καὶ ὡς οὐδείς σου τῷ περὶ τὸ ἄρχειν ἐπισήμως ἐφά-

ἀπὸ τῶν ἄλλων τελικῶν, δεικνύων, ὡς ἐντεῦθεν βεβαίαν ἕξει ὁ προτρεπόμενος, ἢ δόξης ἐλπίδα, ἢ τιμῆς, ἢ χρημάτων, ἢ τέρψεως: Καὶ ἐκ τῶν ἐναντίων. ὡς εἰ τἀναντία πράξαιτο, ἐκπεσεῖται ἧς κέκληται δόξης, χρημάτων, τέρψεως· καὶ τῶν ὁμοίων. τοῖς τε φίλοις καὶ τοῖς πρὸς αἵματος, ὄνειδος οὐ τὸ τυχὸν περιστρέψεται. εἰ δέ τινα καὶ ἀντιπίπτειν δοκοῦντα, ἐπαγαγόντες ἀνασκευάσομεν: Πέρας δέ, ἡ ἀνάμνησις ἔσω τῶν εἰρημένων ἀγαθῶν, ἢ τῶν βλαβερῶν σύνοψις; καὶ μάλιστα παροιμιώδης. Ἢ γοῦν ἐκλιπαρήσωμεν πρὸς ἀρετῆς ἐκείνου, ἢ ἐπαγγέλματος. οὗ πρὸς σκήπτρων, εἰ ἄρχων τυγχάνει. πρὸς νόμων καὶ θέμιδος, εἰ τὶς τῶν δικαζόντων εἴη. ἢ πρὸς Μουσῶν, πρὸς Ἑρμοῦ καὶ Ἀπόλλωνος, ἢ Σοφίας αὐτῆς, εἴπερ τὶς εἴη τῶν λόγων ἀντιποιουμένων:

Ὑπόδειγμα.

Τῶν κοινῶν ὅτι μοι μέλλει, σιγᾶν οὐκ ἔχω. σὲ δ' ὅτι φιλῶ, καὶ πάνυ θαῤῥεῖν ἔχω. καί μου τὴν παῤῥησίαν δέξαι. Ὁ ἱερώτατος πατὴρ Ἄνθιμος συχνὸν ἐξότου χρόνον νόσῳ χαλεπῇ προσπαλαίων, ἤδη τῆς ἀμείνονος ἐγένετο λήξεως. ὁ δὲ ἐκείνου θρόνος εἰ καὶ τοῖς ἄλλοις κοσμεῖται, ὅσοις τῷ θρόνῳ καθήκουσι, χηρεύει μέν τοι τοῦ ἐφέδρου. οὐχ ὅτι μὴ πολλοὺς ἔχει τοὺς ἀντιποιουμένους. ἀλλ' ὅτι ζητεῖ τὸ προσῆκον. καί μοι δοκεῖ τὰ νῦν ἐκεῖνον αὐτόματον ἥκειν τὸν καιρόν, ὃν πολλάκις ἀποδυρόμενοι τὰς τοῦ γένους ἐπηρείας, ἐποθοῦμέν τε, καὶ τῇ διανοίᾳ συνεπλαττόμεθα. εἰ σύ γε βουληθείης τῆς ἀρχῆς ταύτης μεταποιήσασθαι. Τί δὲ μήν; σοί τε καὶ τῇ σῇ ἀγχινοίᾳ πρεπωδεστάτῳ; πάντα κατὰ λόγον ἔχει. οἱ πολῖται, τῆς σῆς φωνῆς ἐκκρεμεῖς ἅπαντες. τὸ λειτούργημα καὶ παρ' ἑαυτοῦ, καὶ τῷ τέλει τῆς ἐνεργείας, ὑψηλόν τε καὶ θεῖον, καὶ τοῖς εὐδοκιμωτάτοις αὐτοῖς περισπούδαστον. τὰ δὲ πράγματα, μονονουχὶ τὼ χεῖρε ὀρέγοντα

τῶν εὖ πεπονθότων. ὅπερ καὶ ἐκ τοῦ ἐναντίου τις ἂν φαίη· ἢ καὶ οὕτως. Ὥσπερ τοὺς λυπήσαντας δίκαιον ἀντιλυπεῖν, οὕτω καὶ τοὺς εὐεργετηκότας ἀντευεργετεῖν· εἶτα καὶ ἐκ τῶν κεκριμένων. Τοῦτο καὶ ξύμπαν ὁμοῦ τὸ ἑλληνικὸν ἐπικυρῶσαι φαίνεται· ἐκ παραδείγματος· Μάλιστα δὲ ἡ πόλις τῶν Ἀθηναίων, εἰς Ξέρξην καὶ τὸν Φαληρέα Δημήτριον εἴργασται. ὧν τὸν μὲν λυπήσαντα, ἀποχρόντως ἠμύνατο. τὸν δὲ εὐεργετηκότα, μεγάλως τετίμηκεν·

Ἐπὶ δὲ τοῦ νομίμου. ἐκ μὲν τοῦ ὁμοίου οὕτως. Ὥσπερ γὰρ ὁ νόμος τοὺς προδόντας κολάζεται, οὕτω καὶ τοὺς λειποτακτοῦντας. καὶ γὰρ οὗτοι, τό γε καθ' ἑαυτούς, τοὺς στρατιώτας προδιδόασι· καὶ ἐκ τοῦ ἐναντίου. Εἴπερ λαμπρὰ τοῖς ἀριστεύσασιν ἆθλα προτίθεται, πάντας τοῖς διὰ δειλίαν τὴν τάξιν προδιδοῦσι, δεινὰ τὰ ἐπιτίμια· ἐκ τῶν κεκριμένων. Τοῦτο καὶ Σόλονος καὶ Λυκούργου ἐπήνεσεν· εἶτα ἐκ παραδείγματος. Διὰ τοῦτο καὶ Ὀθριάδης αὐτοχειρίᾳ θνήσκει, μὴ καὶ θανόντας δόξῃ καταλιπὼν τοὺς ἑταίρους·

Ἐπὶ δὲ τοῦ συμφέροντος, περὶ οὗ πᾶς ὁ λόγος τῷ συμβουλεύοντι. ἐκ μὲν τοῦ ὁμοίου, ὧδε. Τῶν μὲν βρωμάτων τὰ ὑγιεινά, οὐ τὰ ἡδέα λυσιτελεῖ. ὡσαύτως καὶ τῶν φίλων, οἱ ἐπιτιμῶντες, οὐχ οἱ κολακεύοντες χρήσιμοι· ἐκ δὲ τοῦ ἐναντίου, οὕτως. Εἰ γὰρ τοὺς ἀληθεύοντας φιλοῦμέν τε καὶ προσιέμεθα, πῶς οὐ μακρὰν ἀφ' ἡμῶν τοὺς ἐξαπατῶντας ἀποκρουσόμεθα κόλακας; ἐκ τῶν κεκριμένων. Οὐ τοῦτο πάντες ἀγορεύουσιν Ἑλλήνων νόμοι τοὺς ψευδομένοις κολάζοντες· ἐκ παραδείγματος. Πειθέτω σε ταῦτα Δηνίας, ᾧ τὸ δόξαν φορτικὸν τῆς Ἀγαθοκλέους φιλίας, μακρῷ τῆς τῶν κολάκων αἱμύλης, ἔγνωσται τῇ πείρᾳ λυσιτελέστερον· Λήψῃ δὲ τὸ συμφέρον, ἀπὸ τοῦ μέλλοντος, καὶ προσδοκίας, ἢ γνώμης τῶν φίλων, ἢ τῶν ἐναντίων. ἢ φαίης τοιαῦτα παρὰ τῆς ἐκείνου ἀρετῆς τῶν φίλων καραδοκούντων ἢ τῶν ἐχθρῶν ἐπ' εὐχομένων. οὕτω δὴ καὶ

ἀπὸ

Πρὸ πάντων δὲ ὁ προτρέπων, δύο ταυτὶ κεκτῆσθαι χρεὼν, εἴπερ ὅλως πιθανὸς εἶναι μέλλοι· τό, τε δοκεῖν εὔνους εἶναι πρὸς οὓς ἡ προτροπή· καὶ περὶ ἃ συμβουλεύει, ἔμπειρος. ἀτελὲς γὰρ ἐς πειθὼ θάτερον παρὰ θάτερον. ἡ μὲν οὖν ἐμπειρία σοφίᾳ τε συμπαρομαρτεῖ καὶ ἡλικίᾳ, μάλιστα δ' ἀσκήσει τῇ περὶ ὧν ἡ σκέψις. ὅτου χάριν καὶ Σωκράτης σύμβουλον αἱρεῖσθαι διδάσκει ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον: Εἰ δ' ὁ παρακαλῶν ἀμοιρεῖ τῶν εἰρημένων, ὀρρωδεῖ δὲ μὴ τὴν παράκλησιν ἀναχαιτίσῃ ὁ προτρεπόμενος, ἐνὶ τῇ εὐνοίᾳ τὸ πᾶν θεραπεύειν πειράσθω. ἣν καὶ μὴ προσοῦσαν ἐπισπάσεται παρ' αὐτὴν φράσιν παρείσδυσιν, εἰς ἔρωτα τοῦ πρὸς ἐκεῖνον τῆς αἰτίας ἀνάγων. καὶ ὡς οἰκειότητι λέγων καὶ φιλοσοφίᾳ εἰς τὸ γράφειν ἐνάγεται, τό, τε τὰ ἐκείνου περὶ πολλοῦ ποιεῖσθαι, οὐκ ἐᾷ σιγᾷν ἐν τοσαύτῃ τῶν πραγμάτων ἢ κινδύνων ἀκμῇ. εὐεργεσιῶν τε ἀναμνήσει τῶν πρὸς ἀλλήλους· ἢ τῶν ἀνέκαθεν καὶ ἐπὶ τῶν προγόνων, ἢ λόγων, ἢ ὁμιλίας, καὶ τῶν ὁμοίων. Εἶτα ἐποίσει κεφαλαιωδῶς διηγούμενος ἐφ' ἃ καὶ προτρέπειν ἔγνωκε, δεικνύων ἕκαστον, δίκαιον, νόμιμον, συμφέρον, καὶ τὰ ἑξῆς, ὡς ἀνωτέρω δεδήλωται. ἢ ἀπὸ τοῦ πράγματος, ἐφ' ὃ ἡ προτροπή. ἢ ἀπὸ τῶν προσώπων. ἢ ἀπὸ τοῦ μέλλοντος, οἷον ἀπὸ ἐλπίδος γνώμης τῶν φίλων, ἢ τῶν ἐναντίων καὶ τῶν ἄλλων παραστατικῶν. Ταῦτα καὶ ἐμπεδώσομεν ἐκ τῶν ὁμοίων, καὶ ἐναντίους ἐκ παραδείγματος, ἐκ τῶν κεκριμένων, καὶ ἐνδόξων, ἢ τοῖς πᾶσιν, ἢ τοῖς ἐνδοξοτέροις: οὐχ ἥκιστα δ' οἷς γράφομεν.

Παραδείγματος χάριν.

Ἐπὶ μὲν τοῦ δικαίου ἐροῦμεν· ὡς ἐκ τοῦ ὁμοίου. Καθάπερ δίκαιον ἡγούμεθα μὴ βλάπτεσθαι παρὰ τῶν μηδὲν ὑφ' ἡμῶν λυπηθέντων, οὕτω καὶ εὐεργετεῖσθαι παρὰ

τῶν

Παράδειγμα.

Ἤδειν καὶ πάλαι σε σοφιστήν, καὶ τὴν γλῶτταν κεκτημένον νικῶσαν τὰ πράγματα. ὅτι δὲ καὶ σκώπτειν δεινός, τοῦτ' ἐπ' ἐμοὶ πείρᾳ μεμάθηκα. καὶ ἔοικεν ἡ ἐν λόγοις τερθρεία, μετρία μὲν οὖσα, τῇ αἱμύλῃ φάρυγι τὸ δοκεῖν ὑπ' αὐτῆς τὴν ἀλήθειαν κλέπτεσθαι. ὑπερβάλλουσα δέ, λανθάνειν μὴ δύνασθαι. ἀλλ' ἀτεχνῶς μεταφέρειν εἰς σκώμματα τὸ τῆς εὐτραπελίας ἐπίχαρι. δι' ἣν ὡς ἀλόγου περιφράσεως τῆς ἀμούσου φωνῆς δραξάμενος, τοσαῦτα ἡμῶν καταπέπαιχας. Ἀλλ' οὐ ταὐτόν, ὦ γενναῖε, πεῦσις καὶ μέμψις, οὔτε λύσις καὶ σκώμματα. ἐγὼ γὰρ ἐπεθύμουν σου, ὅπως ἐκείνην ἐκδέξοιο τὴν φωνήν. σὺ δέ με τὴν τῶν γραμμάτων ἀμουσίαν διαμέμφεσθαι ὑπετόπασας. κἀγὼ μὲν λύσιν ᾔτουν τῆς ἀπορίας, σὺ δὲ σκώπτειν ἐπιχειρεῖς, γραντιαῖον ἀποκαλῶν τοῖς πηδήμασι. καὶ σὺ Μούσαις συνήσαι ἐλλιπαρεῖς, ὃς ἀντὶ πυθίου ταῖς Μούσαις τελεῖς. καὶ μέλη ἐμοὶ φῂς ἐπᾴδειν, οἷς αὐτὸς ἀεὶ ἐντρυφᾷς. καί μοι δοκεῖς τὰ σὰ ἐξαγγεῖλαι βουλόμενος, εἶτα αἰδούμενος, προσωπείῳ τῶν ἐμῶν ἐπαίνων ἐκάλυψας. Ἀλλὰ γράφε καὶ σοῦ εἴτε παιδιαῖς, εἴτ' οὖν ἐπαίνοις, δίδου ἡμῖν ἐντρυφᾶν:

Τοῦ Συμβουλευτικοῦ γένους, Προτρεπτικὸς ἢ Συμβουλευτικὸς χαρακτήρ:

Ἐπειδὴ κατὰ τὸν φιλόσοφον, ἡ προτροπὴ παράκλησίς ἐστιν ἐπὶ προαιρέσεις, ἢ λόγους, ἢ πράξεις, δῆλον ὅτι προτρεπτικὸς χαρακτήρ, ὁ ἐπ' αὐτὰ ταῦτα παρακαλῶν. Ὅθεν καὶ ὕλη τούτου πράξεις εἰσί, καὶ λόγοι, καὶ προαιρέσεις. οὐχ ἁπλῶς μέν τοι, ἀλλ' ἢ ὄντα ἢ δοκοῦντα, δίκαια, νόμιμα, συμφέροντα, ἔνδοξα, καὶ καλά, ἡδέα, ῥᾴδια πραχθῆναι. ἐνίοτε δὲ καὶ τὰ ὁμολογουμένως δυσχερῆ, δυνατὰ δὲ καὶ ἀναγκαῖα.

ὁ τύπος. ὅτε μὲν φιλικὸς, ἵνα μὴ εἰς τὸ χαμαίζηλον τῆς βωμολοχίας ἐμβέλκηται. ἡνίκα δ' αὐτὸ τοῦτο σκωπτικὸς ᾖ, ὡς ἂν μὴ τὸ ἐσὸν τοῖς σκώμμασι κέντρον ἀπημβλυνθὲν ἐξελέγχηται. Ἡ δὲ μέθοδος ἔσται κατὰ ταὐτὰ τῷ ψεκτικῷ τύπῳ:

Ὑπόδειγμα.

Οὐ παντὸς πλεῖν εἰς Κόρινθον ἡ παροιμία φησί. πολλῷ δὲ μᾶλλον ἐς Ἑλικῶνα ἀνιέναι φαίης ἂν καὶ αὐτός. οὐ ἡ ὁδὸς κατὰ τὸν εἰπόντα μακρά τε καὶ ὄρθιος, ἱδρῶτά τε οὐκ ὀλίγον ἔχουσα τοῖς ὁδοιποροῦσι. διὸ οὐδὲ θαυμαστὸν εἰ καὶ ἄμουσον τι οἷς γεγράφαμεν ἐνυπῆρχεν, εἰ μή που τὰ Μουσῶν ὀργιάσαντες, κάτω που περὶ τὴν ὑπώρειαν ἔτι πλανώμεθα. καὶ ταῦτα παρὰ σοὶ τῇ κριτικωτάτῃ τῆς ἀκοῶν. ὃς ἤδη πρὸ πολλοῦ κατέλαβες τὴν τοῦ Ἑλικῶνος ἀκρόπολιν. οὐ χρόνου μακροῦ δεηθείς. οὐ πονῶν καὶ ἀσθμαίνων ὡς οἱ πολλοί. ἀλλ' ἀγχινοίᾳ τινὶ καὶ γιγαντικῷ τῷ ὄντι κεχρημένος πηδήματι. καὶ σὲ αἱ Μοῦσαι, οὐχ ὡς τρόφιμον αὐτῶν μόνον, ἀλλὰ καὶ ὡς σύμβουλον ἤδη ἐγνώκασι. καὶ ὅ, τι ἂν εἴποις, εὖ οἶδα, πάντως ἐπαινοῦσι κἀκεῖναι. οὐδ' Ἀπόλλωνι ἀπαρέσκει. ὅτου χάριν ἢ καὶ ἡμᾶς αὐταῖς σύστησον, αἱμύλῃ καὶ χάριτι τῶν λόγων πρὸς αὐτὰς χειραγωγούμενος. ἢ αὐτὰς ὡς ἡμᾶς ἐλθεῖν καταξίωσον. πάντως γάρ σοι καὶ Μοῦσαι καὶ μέλη συνέψονται:

Ἀπάντησις πρὸς τὸν Εἰρωνικὸν χαρακτῆρα:

Ἀπαντητέον δὲ τοῖς εἰρωνευομένοις. τοῖς μὲν τέλος ποιουμένοις τὸν ψόγον, κατὰ ταὐτὰ τῷ ψεκτικῷ. τοῖς δὲ παιδείας χάριν κωμῳδουμένοις, ἀντικωμῳδησόμεθα καὶ αὐτοί. τὰ μὲν εἰρωνευόμενοι, τὰ δ' ἐξαίροντες τὰ ἐκείνων. καὶ ὅσα περὶ ἡμῶν εἰρήκασιν, ἐκείνοις αὐτοῖς εἴπως ἐνδέχεται περιάπτοντες:

τίνα γὰρ καὶ φύσιν ἔχει, τὸν αὐτὸν ἅμα δειλὸν καὶ ὀργίλον εἶναι, ἀνάλκιν τε καὶ πανοῦργον; καὶ ἥκιστα μὲν δεκτεῖν, σφριγᾶν δὲ πρὸς τὰς ἡδονάς; ὧν ἡ θατέρου θέσις, πάντως ἐστὶ τοῦ ἑτέρου ἀπόφασις. ὃν γὰρ δειλὸν φαίης, τοῦτ' αὐτὸ καὶ ὀργίλον εἶναι ἀπέφης. καὶ ὃν ἂν ὀργίλον, ὁμοίως δειλὸν ἀποφάσκεις. καὶ οὕτω τῇ ἑκατέρου θέσει, ἀναιροῦνται δηλονότι ἀμφότερα. εἶτα γυναιξὶν ἐπιθέσθαι φῂς, τὸν οὐδὲ μίαν ἀξιώσαντα ἔχειν γυναῖκα; καὶ φίλοις ἀποκαλεῖς ἄπιστον, τὸν πλείω σου, πρὸς ἅπαντας ἡρμοσμένον φιλίᾳ. καὶ τοῖς νόμοις τολμᾷς λέγειν ἀκάθεκτον, ὃς καὶ παρά σου λοιδορούμενος, μηδ' ἀντειπεῖν ἠξίωσεν, ὅτι μὴ παραιτέσων. τυγχάνεις μέν τοι οὐδ' ὡς ὄναρ ἐφίσται. οὐ γὰρ ἔνεστι συκοφάντου δείγματος ἡ κωμῳδία φησίν. εἶναι δεῖ πρῶτον ἐν λόγοις δεινόν, Σωσία βαρίστονε, εἶτα δοκεῖν. αἰδέσθητι δὲ τοὺς κρείττω, ὡς ἂν μὴ ἀνταιδοῦνται. οὐ γὰρ τοιοῦτος εἶ σύ, ἀλλὰ γοῦν μὴ τελέως μισάπτονται, παντὸς γὰρ τὸ κατηγορεῖν. μᾶλλον δ' οὐδὲ παντός, ἀλλ' ὧν ἡ φύσις τυφώνειος κατ' Αἰγυπτίους εἰπεῖν. σὺ δ' ἄλλα πεισθεὶς ἐμοί, μᾶλλον δὲ τῷ εἰπόντι σοφῷ, λάθε βιώσας. ἄξια γὰρ λήθης τὰ σά. εἰ δὲ βούλῃ, εἴδει δὲ ὅτι βουλήσῃ, τὰ εἰκότα τῇ φύσει σου χαριζόμενος, μὴ παύσῃς ληρῶν παραπλήσια. οὕτω γὰρ οὐτ' ἐμὲ βλάψεις, καὶ τὴν σαυτοῦ ἀρετὴν ἀριδηλοτέραν καταστήσεις:

Περὶ Τωθαστικοῦ καὶ Εἰρωνικοῦ:

Ὁ τωθαστικὸς καὶ εἰρωνικὸς χαρακτὴρ, οὐκ εἰσὶν ἀεὶ οἱ αὐτοί, ἀλλὰ διαφοροῦνται κατὰ τὸ τοῦ τέλους διάφορον. ποτὲ μὲν γὰρ παιδείας ἕνεκεν τωθασμοῖς τε καὶ εἰρωνίαις χρώμεθα, ὅτε καὶ φιλικὸς λέγοιτ' ἂν ὁ χαρακτήρ. ἐνίοτε δὲ καὶ σκωμμάτων καὶ ψόγου. διὸ καὶ εἰκότως εἰς τὸ ψεκτικὸν ἄν τις ἀναγάγοι. Δεῖται δὲ σαφότητος καὶ σεμνοπρεπείας ὁ τύπος.

ἄλλοις τὰ ἴδια περιάπτει· ἢ ὅτι φθόνῳ ἢ μίσει τῷ πρὸς ἡμᾶς διδασκάλῳ κέχρηται. Τελευταῖον δὲ καὶ ἀπὸ τῶν πραγμάτων δεικνῦντες, ὡς ἀνοίκεια ἡμῖν ὅσα ἐκεῖνος διέβαλε, καὶ διαγωγῇ τῇ ἡμετέρᾳ καὶ τῶν ὁσημέραι πράξεσιν ἐναντιώτατα. Βραχεῖ δ' ἐπιλόγῳ προτρέψομεν καὶ εἰς αὖθις παραπλήσια διαληρεῖν, ὡς μὴ λήθην σχοίη τῆς οἰκείας φύσεως. ἢ καὶ ἐλεήσαντες καταδεξόμεθα, εἰ δυνατὸν ἀνανῆψαί ποτε τῆς τοσαύτης φρενοβλαβείας:

Ὑπόδειγμα:

Οὐδὲν προτιμῶ σου ἡ κωμῳδία φησί, φορῶ γὰρ πριάμενος φαρμακίτην δακτύλιον. ἐγὼ δέ σου τοσαῦτα φροντίζω καὶ σιγῶντος καὶ λέγοντος, ὅσα καὶ μηδ' εἰ ὅλως ζῶσι γινομένων. ὑψηλοτέρα γὰρ τῶν σῶν λήρων ἐστὶν ἡ ἀλήθεια. καὶ οὐδ' ἄν μου τὴν λυπάδην ἐμπλάσαι ὀδόντα ἐξίκοιο, κἂν μάλα ὡς κορυκαῖος φασὶ τοῖς ἐμοῖς ἐγχανῇς. ἀλλὰ παροξύνεις μὲν σεαυτὸν καὶ ἀνιάσεις εὖ οἶδα. τοιοῦτον γὰρ ὁ φθόνος. ἐμὲ δὲ λαμπρότερον ἀποφανεῖς, ἀντίθετον σοῦ τε καὶ τῶν σῶν τρόπων οἷς γράφεις δηλῶν. ὡς γὰρ ἄχθεται τοῖς Ἀνύτου, ζηλοῖ τὰ Σωκράτους. ὡς εἴθε μου καὶ πλείω καταφλυαρήσας, ἢ πού σε καὶ μᾶλλον ἂν εὐεργέτην ἐγίνωσκον:

Ἄλλο.

Οὐ ταῦτ' ἐστὶν εὐεργία γλώττης ὦ λῷστε Σωσία, λοιδορεῖς ὅτι πλείστας συμφορήσαντα κατασκεδάζειν ὅτῳ τις ἂν τύχοι καὶ βούλοιτο. οὔτε τοῖς ἀμείνοσιν ἀναιδῶς ἐπιτίθεσθαι, ἐπίσημον ἀπεργάζεται. σὺ δ' ἀλλ' ὡς θεῷ τῷ φθόνῳ τὰς τῶν κρειττόνων βλασφημίας ἀποθῦσαι βεβούλησαι, ὡς ἂν ἐκ τούτου εἶναί τι καὶ δόξης, τῷ δῆθεν ἐνδοξοτέροις παραβάλλεσθαι. κἆτα ὑπὸ συνηθείας λέγειν μὲν οὐδὲν ὑγιές. πάντα δὲ κυκᾷς καὶ μιγνύεις χρήματα. καὶ τοῦτο δὴ τὸ τῆς παροιμίας, κλώθειν σειρᾷ τὰ ἀσύγκλωστα.

λασίας. ἀηδὴς τῇ πόλει. τοῖς νόμοις ἀκατάδεκτος. τοῖς φίλοις ἄπιστος. πρὸς μὲν τοὺς οἰκείους, ὠμός. τοῖς δ' ἀλλοτρίοις, ἐπίβουλος. οὐχ ἧττον ἄχθεται τοῖς τῶν ἄλλων ἀγαθοῖς, ἢ τοῖς ἰδίοις λυπηροῖς. σεμνύνεται μὲν πλεονεκτῶν. τὸ δ' ἐξαπατῆσαί τινα, σοφίαν οἴεται. τοῖς μὲν μέγα δυναμένοις, Ἶρος αὐτόχρημα. τοῖς δὲ ὑποδεεστέροις, ὠμότερος καθέστηκε Κύκλωπος. ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι οὐδ' αὐτῷ σπουδάζεται. οὐ γὰρ ἔχει φύσιν γαληνιάζειν τοῖς οὕτως ἐναντίοις ἐνειλημμένος κακίας εἴδεσιν. ὥσπερ οὐδὲ νῆα ἐν μετεώρῳ πελάγει τρικυμίαις παλαίουσαν. Ἀλλὰ ταῦτά σοι μικρὰ τῶν μεγάλων ἔσω τῆς ἀρετῆς τοῦ Καλίου γνωρίσματα. ᾧπερ αὐτὸς ὁμιλήσας, οἶδα ὅτι θάτερον, ἢ Καλίου φειδώ, ἢ λόγων ἀπορίαν, ἡμῖν ἐγκαλέσεις :

Ἀπάντησις πρὸς τὸν Ψεκτικόν.

Εἰ δὲ πρὸς ἡμᾶς ὁ ψόγος, ἀντὶ μὲν ὕλης ὑπουργήσει τὰ γεγραμμένα. ἐνστάσεως δὲ πρὸς αὐτὰ εὐπορήσομεν, τὰ μὲν παρ' ἡμῶν αὐτῶν δηλοῦντες, ὡς οὐδὲν καινὸν πεπόνθαμεν ἐπὶ τοῖς εἰρημένοις. καὶ τοσοῦτον ἀπεδέησε δυσφορῆσαι ἡμᾶς, ὡς οὐδὲ λόγου ἂν ἠξιώσαμεν, εἰ μὴ τὰ δευτερεῖα κακίας τὴν ἀρετὴν ἐνεγκεῖν ᾐσχύνθημεν. καὶ ὅτι φθάσασα ἡ πεῖρα καὶ φήμη, τὰ ἡμέτερα παρὰ πᾶσιν ἐμπέδωσε. καὶ τῶν ἐκείνου λήρων, κἂν διαρραγείη, κἂν ὅ,τι πάθοι, τυγχάνουσι κρείττονα. Τὰ δ' ἀπὸ τῆς τοῦ γράφοντος πονηρίας, ὅτι μᾶλλον ἐπῄνεσεν, ἢ διέβαλεν. ὁ γὰρ παρὰ τῶν μοχθηρῶν ψόγος, τῆς πρὸς ἐκείνους ἀλλοτριότητος ἔλεγχος. τοῦτο δὲ καλοκαγαθίας τεκμήριον. καὶ ἅμα τινὰ τῶν ἐκείνῳ προσόντων, ἢ νομιζομένων ἐποίσομεν. Εἶτα ὅτι καὶ μετὰ πολλῶν τοῦτο πάσχομεν, πάντας γὰρ ἐκεῖνος κακῶς ἀγορεύει. ἢ ὅτι ἐπιρρεπὴς εἰς κακηγορίαν ἐκ φύσεως. ἢ ὅτι καλῶς λέγειν οὔπω μεμάθηκεν. ἢ ὅτι ἀφ' ἑαυτοῦ τὰ τῶν ἄλλων κρίνει, καὶ τοῖς

χαίειν, καὶ τὴν πονηρίαν τὴν δεῖνα. τοῖς μὲν γὰρ ἄλλοις, ὧν ἐστὶ μοχθηρίᾳ τρόπου μέγιστον ὄνομα, ἐκ μέρους ἡ κακία ὡμίλησεν. ὁ μὲν παροινίας τυχὸν, ὁ δ' ἀσεβείας, ἥττων. ἕτερος δ' εἰς ἀσέλγειαν καλασπώμενος. τῷ δεῖνι δὲ, φύσις ἐστὶν ἡ κακία, καὶ οὐδὲν δεῖ τῶν ἐκ συμβεβηκότων προσρήσεως. τὸ δὲ κάλλιστον τῶν ἐκείνου, ὅτι προγόνων ἔτυχεν ὁ γυννάδας, οἷς εἰκὸς τὸν τοιοῦτον γινόμενον. παρ' ὧν καὶ ἀγωγὴν εὗρε τῇ φύσει προσήκουσαν. ἐντεῦθεν αὐτῷ τίς ἔνι καὶ τῆς κακίας παραίτησις; οὐδὲ γὰρ μιμηλαῖα πιθήκων τὰ ἔκγονα, εἰ καὶ τῶν τοιούτων εἰσὶν ἀπρεπέστερα:

Ἄλλο.

Ἀνόσιόν τι χρῆμα ἡ λοιδορία, καὶ πᾶσι, μάλιστα δὲ τοῖς ἀμυήτως φιλοσοφίας καὶ ἤθη ἐπαγγελλομένοις χρηστά. Ἔγωγε μέν τοι, εἴγε στυγήσας τὸ ἐναγὲς τοῦ Καλλίου τῶν τρόπων, τοὺς τὰς ἀκοὰς ἀκεραιοτέρους λυμήνασθαι οὐκ ἔμελλον, πάντως ἂν ἠσπασάμην τὴν σιωπήν. ἀλλὰ γὰρ ἡ κακία μὴ δημαομένη, διαδόσιμος γίνεται. καὶ ταῦτα ἐπειδὰν καὶ ἰσχύος προσλάβηται συνεργοῦ. ἡνίκα καὶ πιθανώτερον τὸ κακὸν εἰς ἀπολαύσεις ἡγήσασθαι, διὰ τὸ ζηλοῦσθαι ἀεὶ τὰ τῶν ἐξουσίαις παρὰ τῶν ὑποδεεστέρων. οἷα δὴ τὰ Καλλίᾳ συνέδραμε. Καὶ γὰρ ἔφυ καὶ τέθραπται παιδόθεν ἐν πονηρίᾳ, καὶ τάξεως οὐκ ἀπέτυχεν ὑπουργούσης τῇ φύσει. παντοδαπὴ μὲν αὐτοῦ καὶ ἀλλόκοτος ἡ κακία, καὶ Ὕδρας ἐκείνης τῆς πολυκεφάλου πολυπλοκωτέρα. οὐ γὰρ ὅλως δοκεῖ ἀνθρωπίνης μετέχειν φύσεως. ἀλλ' ὑπό τινος ἐριννύος καὶ τινῶν ταρταρίων δαιμόνων ἀναπεμφθῆναι, ἐφ' ᾧ αἴσχους τε καὶ ἀκοσμίας ἀναπλῆσαι τὴν περίγειον λῆξιν. τραχὺς μὲν ἐστὶν εἰς ὀργὴν ὑπέρ τις ἄλλος, ἀλλ' ἐλάφων δειλότερος. δυσειδὴς, ἀλλὰ καὶ θηλυδρίας. ἀνόητος, ἀλλὰ καὶ ἀλαζών. ἄπειρος ἐστὶ λόγων, ἔπειτα χελιδόνος τυγχάνει λαλίστερος. δεξιᾶς μὲν ἀμοιρεῖ τῆς κατὰ τὸ σῶμα, σφριγᾷ δὲ πρὸς τὰς ἡδονὰς, καὶ πέρας ἐστὶν ἀκολασίας.

τὸ ἐντελὲς παρά σου καὶ θεὸν δεξιῶς εἰδέναι μοι δοκῶ. ὡς παρά τινος Ἀσκληπιοῦ μεθ' Ἀπόλλωνα. Τὸ δὲ καὶ τὴν πόλιν χαριστήρια θῦσαι ἐμοῦ ἀνασφηλάσαντος, σοὶ μετὰ τὴν πόλιν τὰς αἰτίας ἀνατίθημι. μᾶλλον δὲ καὶ πρὸ τῆς πόλεως, ὡς προπυργίῳ καὶ τοὺς ἄλλους ἐπὶ τούτῳ παρεσκευάσαντι. διό σοι μᾶλλον τῶν ἄλλων ἀποκείσεται χάρις. τῇ δὲ πόλει τὸν ἐόντα δεῖξαι πειράσομαι, ὡς ἐν μάτην ἐμοὶ τῆς ὑγείας συνήδεται:

Περὶ ψεκτικοῦ.

Ὁ δ' αὖ ψεκτικὸς ἐκ διαμέτρου ἀντίκειται τῷ ἐγκωμιαστικῷ. Ἔστι δὲ ψόγος (ὡς Ἀριστοτέλης ὁρίζεται) τῶν μὲν ἐνδόξων ταπείνωσις, τῶν δ' ἀδόξων αὔξησις. Ὕλην δ' ὡς εἰκὸς ἔλαχε, τὴν ἀντίστροφον τοῦ ἐγκωμιαστικοῦ. οἷον ἐπὶ μὲν ψυχῆς, ἀφροσύνη, δειλία, ὀργιλότης, σκαιότης, καὶ τὰ παραπλήσια. ὡσαύτως καὶ ἐπὶ τοῦ σώματος, καὶ τῶν ἐκτός. κατὰ τοῦτο δὲ τῆς ὕλης καὶ ἡ μέθοδος ἔχηκεν, ἀντεστραμμένως δηλαδὴ τῷ ἐγκωμίῳ. ὡς περὶ τὰ ἐκείνου ἀντίστροφα καταγιγνομένη. καὶ τοῖς λοιποῖς δ' ὅσα περὶ ἐκείνου εἴρηται, ἀντιστρόφως χρηστέον καὶ ἐπὶ τούτου: Ψέγονται δὲ καὶ ζῶα, καὶ πόλεις, καὶ ποταμοί, καὶ λειμῶνες, μειουμένων τῶν αὐτοῖς ἀγαθῶν προσόντων, ὡς ἐπὶ τῶν ἐγκωμίων αὐξάνονται. ἰδιαίτερον δ' ἀνθρώπῳ ὁ ψόγος οἰκεῖος, ὥσπερ καὶ τὸ ἐγκώμιον:

Ὑπόδειγμα.

Ἀκόλαστον ἔφη τις τὸν ὁ δεῖνα. ἀλλὰ καὶ θηριώδη τις ἄλλος, καὶ ἄφρονα, καὶ εἰς ἅπαν παμπόνηρον. εἶτα οἱ ἀκούοντες ἐν δεινῷ ποιοῦνται, εἰ τοσούτων κακῶν εἰς ἓν συμβέβηκεν θύασος. ἀλλ' οὐκ ἄν, εἴγε τὸν δεῖνα εἴδεις. τοὐναντίον γὰρ ἂν ἐθαύμασας, εἰ τοιοῦτος ὢν ἐσωφρόνησέ ποτε. οὐ γὰρ ἔχει φύσιν αἰθίοπα ἀποθέσθαι τὸ μέλαν, ἢ πῦρ τὸ

καίειν,

Ὑπόδειγμα.

Οἷς τὰ πάντα κοινὰ, κοινά δή που καὶ τὰ ἀποβαίνοντα. κοινὸν ἄρα καὶ τὸ τούτοις εὐπραγοῦσιν εὐφραίνεσθαι, ὡς καὶ δυσημεροῦσιν αὖθις συνάχθεσθαι. σὺ δ' ὅτι τοῦ πρώτου μετέχεις ἡμῖν, ἀκριβῶς τοῖς ἑπομένοις δηλοῖς· τοῖς δὲ τοιούτοις, τὸ, τι συνήδεσθαι σαυτὸν, καὶ ἑαυτοῖς ἥδεσθαι. ἀνθ' οὗ καὶ χάριτες ἀμοιβαδὸν ὀφειλόμεναι ἴσαι. Μᾶλλον δὲ οὐδὲ μία χάρις. ἀλλ' εἴ τι τοιοῦτον, τῇ τὰ πάντα διοικούσῃ προνοίᾳ παρ' ἀμφοτέρων ὀφείλεται. παρ' ἧς φασὶ καὶ τὸν, Βριάοντα ῥεῖα χαλέπτεσθαι, καὶ τὸν Ἀΐδηλον ἀέξεσθαι. οὐ κἀμὲ τὰ νῦν ἦρέ τε ἀπειρημένως εἰς ἔδοξε λόγοις. καὶ ἀμείνονος ἔδωκε πειρᾶσθαι τοῦ δαίμονος. δι' ἐμοῦ δὲ καὶ τοὺς φίλους ὅσα τὸ κατ' ἐμέ. οὐ γὰρ ὥσπερ τὴν τύχην, οὕτω μοι καὶ τὴν γνώμην μετέβαλεν. ἄπαγε τῆς εὐπραγίας. φίλων γὰρ ἀμνημονῆσαι τῶν πάλαι, πάσης ἐμοὶ δυσπραγίας δυστυχέστερον κρίνεται:

Ἄλλο.

Εἰ παρ' ἐμψύχοις ἐστὶ μᾶλλον τῶν ἄλλων τὸ ζῆν περισπούδαστον, ἡ ὑγεία πάντως τῶν ἐν ἀνθρωπίνοις ἐστὶν αἱρετώτερον. καὶ ταῦτα, ἡνίκα τοῦ ἐναντίου ἐν πείρᾳ γενώμεθα. ἥδιον γάρ φασι μετὰ τὸ νέφος ὁ ἥλιος. Ἀλλ' οὐ τοσοῦτον ἐμὲ ἡ τῆς ὑγείας ἥσεν ἀνάκλησις, νόσῳ καί περ δεινῇ περιπαλαίσαντα, ὡς τὸ γράμμασιν ἐντυχεῖν ὑμετέροις. ἃ παρ' αὐτὰ τῆς ἀῤῥωστίας ἀνενεγκόντι μοι δέδοται, καί μοι πρὸς τὸ πάθος γεγόνασιν ἐχ ἤπιον σωτήρια, ἢ πρὸς τὸ κῆδος τῇ Ἑλένῃ τῆς Πολυδάμνας τὰ φάρμακα. συμπαθὲς γὰρ τὸ σῶμα ψυχῇ, καὶ τὰ πολλὰ τοῦ νοσεῖν τοῦτο ἐκείνης ἐξήρτηται. οἷόν τι κἀμοὶ συμβεβηκὸς τὰ νῦν φαίνεται. ἅμα γὰρ τῷ ἀναγνῶναι τὴν ἐπιστολὴν, καὶ τὴν νόσον ᾐσθόμην ἀποσεισόμενος. ὥστε τὴν ἀρχὴν τῆς ὑγείας μετὰ μόνου Θεοῦ ἐγγράφεις,

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

προεδρίαν Θυεσσώτη τοῦ ὑμετέρῳ, καὶ εἰς μείζονας καὶ λαμπροτέρας προαγάγοιτε τὰς ἀρχάς:

Ἄλλο.

Οὗ σου ἐγὼ ὑπὸ βαθείας ἥσθην τῆς γνώμης τὴν σὴν ὑγείαν παρ' Ἑρμοδώρου πυθόμενος, οὐδ' αὐτόν σε ἀγνοεῖν ἡγοῦμαι. εἶθα γὰρ ὡς σου τῆς τιμιότητος ὅλος ἐξήρτημαι. καὶ τοῦτο μόνον τῆς μετὰ σώματος ἀπολαύω ζωῆς, ὅσον καὶ τῆς σῆς ὑγείας, ἢ παρὼν, ἢ ἀπὼν τοῖς ἰνδάλμασιν. Ἀλλὰ καὶ πᾶσα ἡ πόλις πλεῖστον ὅλως τῇ ἀγγελίᾳ ὑφ' ἡδονῆς διεχύθησαν. πῶς γὰρ οὐκ ἔμελλον; οὗ ἡ μὲν ὑγεία ἐστὶ πάντων σωτηρία, ὥσπερ ἡ νόσος οὐ τὸν τυχόντα τοῖς πᾶσιν ἐπηπείλει τὸν ὄλεθρον; οὐδὲν ἐδοκοῦμεν διενηνοχέναι νεὼς ἐν καιρῷ χειμῶνος τὸν κυβερνήτην ἀποβαλούσης, κἂν μετεώρῳ πελάγει τρικυμίαις προσπαλαιούσης. σὺ γὰρ ἡμῖν καὶ οἰακοστρόφος καὶ ἄγκυρα, ἐφ' οἷς ἐρείδεται τὰ ἡμέτερα. Ἀλλὰ χάρις ἔστω τῇ μακαρίᾳ προνοίᾳ, ἣ σε ἡμῖν ἐχαρίσατο. οὗπερ ἕνεκα καὶ μεγάλα ἐθύσαμεν τῷ Θεῷ τὰ χαριστήρια. ὃς τὸν τῆς σῆς ἀῤῥωστίας λύσας χειμῶνα, ἔαρ καὶ ἄνθη πάλιν τῆς σῆς ὑγείας ἰδεῖν καταξίωσεν. ἣν χαρίσαιτο μὲν σοι ἐπιμήκιστον, σὺ δ' ἡμῖν. οἷς σου δίχα, ἅπας ὁ βίος ἀβίατος:

(Ἀπάντησις πρὸς τὸ Συγχαριστικόν:)

Εἰ δ' ἀπαντῆσαι δέον πρὸς τὸ συγχαριστικὸν, ἐροῦμεν, ὅτι τὸ συνήθως ἡμῖν εὐημεροῦσι τοὺς φίλους, μέγιστον τῆς ἐκείνων πρὸς ἡμᾶς φιλίας ὑπάρχει τεκμήριον. δι' ἣν αὐτοῖς καὶ χάριτας ὁμολογήσομεν. Τὰ δὲ τῆς ὑπουργίας τῷ Θεῷ πάντα βεβαιότητι ἀναθήσομεν, τὰ ἡμέτερά πως ἐξατελίζοντες, ἤπερ τοῦ φίλου ἐπῄνηται. τοὺς δὲ φίλους ἐροῦμεν μὴ λήσεσθαι, μηδὲ τὴν γνώμην μεταβαλοῦμεν, εἰ καὶ τὰ τῆς τύχης μεθήρμοσται:

Ὑπό-

εἶναι ἀπέφηνε. καὶ ὡς ἀρετῆς ἆθλον νενέμηται, οὐχ ὡς τύχης δῶρον κεκλήρωται. Ἡ ὑπὸ τῆς τοῦ θεοῦ προνοίας, ὅτι πάλαι τοῦτο ἐταμιεύετο, καὶ νῦν σοφῶς διάκειται. ἵνα ἐπ' αὐτῷ καὶ ἡ πρόνοια δοξασθῇ, καὶ τὴν προσήκουσαν ἐπιστασίαν ἢ σωτηρίαν καὶ διοίκησιν τὰ πράγματα λάβῃ. ἅμα τε αὐτὸν ἐπαινοῦντες τῆς ἀρετῆς, καθ' ἃς ἄξιος εἶναι δοκεῖ ὧν τετύχηκεν:

Δυνατὸν δὲ καὶ πλαγίως συνησθῆναι τῷ φίλῳ, καὶ ἐκ προκαταλήψεως τοίας δε. λέγοντας τί ποτ' ἂν ἄλλοι συνηδόμενοι εἴποιεν; οἱ μὲν δήπουθεν, ὡς ἐς ἄκρον ἀθροεῖν τὴν δόξαν. οἱ δ' ὡς τὰ εἰκότα τετίμησαι. καὶ τὰ ὅμοια. ἡμᾶς δ' αὐτοὺς συνήδεσθαι ταῖς ἀρχαῖς καὶ τοῖς πράγμασιν. ἅπερ ἐτήρησας μᾶλλον καὶ σέσωκας, ἢ παρ' αὐτῶν ἤρθης καὶ σέσωσαι. ἃ καὶ διαδιδράσκοντα κατέλαβον, καὶ ἀποσειόμενα ὑπερίσχυσας. Τελευταῖον δ' εὐδαίμονα τὴν ἀπόλαυσιν εὐξόμεθα. ἢ μείζονα καὶ λαμπροτέραν προσεπιμαντευσόμεθα. ἢ χάριτας τῷ κρείττονι καθομολογήσομεν, σοφῶς οὕτω τὰ περὶ ἐκεῖνον διῳκηκότι:

Ὑπόδειγμα.

ΠΕφοίτηκε πρὸς ἡμᾶς καὶ πρὸ τῶν γραμμάτων ἡ φήμη. ἥτις ἐπιτετράφθαι σοι τὸν σοφιστικὸν θρόνον ἐξήγγειλε. καὶ τί χρὴ λέγειν ὅσης ἡδονῆς τοὺς πάντας ἐνέπλησεν; ἀλλὰ καὶ ἀκοὴν καὶ γλῶτταν τὴν περί σε ἐνωχέλησε. μηδὲ γὰρ οἴει ἄλλο τι ἐνταῦθ' ᾄδεσθαι, ἢ ὅτι νενίκηκεν ἤδη ἡ νέμεσις. Σωτήριχος ἤρθη, μηδὲ πρὸ τοῦ τεταγμένος τοῖς κάτω, ὅτι μὴ τῷ δοκεῖν. ἐγὼ δ' οἷα εἰκὸς διεχύθην μὲν ὅλῃ ψυχῇ ὑφ' ἡδονῆς τῷ ἀκούσματι. καὶ συνήσθην, σοὶ μὲν, οὐδαμῶς. (οὐ γὰρ ἔσθ' ὅπως τῷ μὴ ἡδομένῳ συνήδεσθαι.) ἀλλὰ ταῖς Μούσαις. αἵ σε καὶ λανθάνειν ποθοῦντα, ἐξέφηναν, καὶ τὴν ἀξίαν ἀποσειόμενον ὑπερίσχυσαν. τοὺς γὰρ γνησίους ἑαυτῶν τροφίμους, αὐταί τε ἴσασι, καὶ τοῖς ἄλλοις καταφανεῖς εἶναι ἐθέλουσιν. Ἀλλ' ὦ μαλίσται Μοῦσαι καὶ Ἄπολλον μουσηγέτα, δότε καὶ λυπαρὰν τὴν

Ὑπόδειγμα.

Εἰ τοῦ βασιλεύειν ἄμεινον φίλους κεκτῆσθαι, ὡς ὁ παλαιὸς βούλεται λόγος, μᾶλλον παρὰ σοῦ λειπόμενος, ἢ δόσων, εἰς ταύτην σε τὴν λειτουργίαν ἐκάλεσα. καὶ γὰρ σκῆπτρα καὶ θρόνοι πλούτου μὲν εὐποροῦσι. μᾶλλον δ' οὐδὲ τούτου, εἴπερ ὀρθῶς αὐτὰ διϊθύνει. φίλων δὲ καὶ ταῦτα πιστῶν ἀποροῦσιν. ὧν οἱ ἐν ταῖς ἀρχαῖς μᾶλλον ἐπιδεεῖς, ἤπερ οἱ ἐν πενίᾳ τοῦ πλούτου. ἡ μὲν γὰρ βασιλεία, ὅσωπερ τῶν ἔξω ζηλοῦται καλλωπισμάτων, τοσούτῳ τῶν ἔνδον ὑποπτεύεται σκαιορημάτων. καὶ ὅσῳ πλέον δοκεῖ τρυφᾶν περιπόμποις καὶ διαδήμασι, τοσούτῳ μᾶλλον κακοδαιμονᾷ φθόνοις τε καὶ ἐπιβουλεύμασιν. ὧν οὐδεὶς ἂν σωθείη, κἂν τὰ μάλιστα ἑαυτοῦ προνοητικῶς ἔχων τύχοι, μὴ φίλους τοὺς περὶ αὐτὸν κεκτημένος. Ταύτην ἄρ' ἴσθι δεξάμενος τὴν ὑπουργίαν εὖ πεποιηκὼς μᾶλλον ἢ πεπονθὼς, καὶ σώσας μᾶλλον ἤπερ σωθείς:

Περὶ Συγχαριστικοῦ:

Συγχαριστικὸς ἐστὶ τύπος, δι' οὗ τοῖς ἐπ' ἀλλοτρίοις ἀγαθοῖς ἐξαγγέλλομεν θυμηδίαν. Ὕλην δ' ἔλαχεν, ὅσα τῶν οὐκ ἐφ' ἡμῖν εὐκλεᾶ καὶ περισπούδαστα. τοιαῦτα γάρ εἰσι τά τ' ἐκτὸς ἀγαθὰ, καὶ τὰ τοῦ σώματος, ὅσα φύσιν ἔσχηκε μειούμενά τε καὶ ἀπολύμενα, ἀνεκλᾶσθαι πάλιν, καὶ ἀναῤῥώννυσθαι. ἐν οἷς καὶ ἡ τῶν ἐναντίων ἀπαλλαγὴ συμπεριείληπται. Ἀρχὴν μὲν οὖν ἐκ τῆς ἡδονῆς προοιμιασόμεθα, ἣν προὐξένησεν ἡμῖν ἡ τοῦ φίλου εὐπραγία. τοσαύτην δῆθεν καὶ τηλικαύτην τῷ λόγῳ ἐμφαίνοντες. οἵας ἔδει μᾶλλον τὸν φίλον ἡμῖν συνησθῆναι, ἤπερ ἡμεῖς ἐκείνῳ τῆς εὐπραγίας: Εἶτα τῶν ἀγαθῶν ὧνπερ ἔτυχεν ἐπαινέσομεν. ἥκιστα μέν τοι τοῦ κατ' ἀξίαν τετυχηκέναι ἐροῦμεν, ἢ ἀπὸ τοῦ τοῦ τετυχηκότος, ὅτι πάλαι μὲν ἦν προσῆκον τὸ τοιοῦτον, κἂν αὐτὸς ἑκὼν

εἶ

τοσοῦτον ἆραι, καὶ βίου ἀπαλλάξαι εὐτελεστάτου, ἀξιώμασι τοῖς τῶν ἀεὶ σὲ κοσμήσαντα, Θεῷ μόνῳ τῷ ὄντι οἰκεῖον καὶ τοῖς κατὰ σὲ θείοις ἐκείνῳ συνημμένοις διὰ μιμήσεως. ὃς οὐ κατὰ τὴν ἀξίαν τῶν δεχομένων διανέμει τὰς χάριτας. ἀλλὰ λόγῳ τῶν δωρημάτων ἀπαρτίζει τοὺς ἔχοντας. ποῦ γὰρ ἐγὼ τοσαύτης λειτουργίας ἐτύγχανον ἄξιος; ἣν κἂν ὄναρ φαντασθείς, ἐδειλίασα; ἀλλὰ νῦν ὅτι ἐστὶ παρὰ σοῦ, καὶ στέργω καὶ ἀποδέχομαι. ἐλπίζω γάρ σε τὸν ταύτης νομέα γενόμενον, γενέσθαι καὶ νεμεθείσης προστάτην. ἵνα μὴ μόνον εὐεργέτην τηλικαύτης ἀξίας, ἀλλὰ καὶ εἰσηγητὴν σε γνοίην καὶ φύλακα:

Ἀπάντησις πρὸς τὸν Χαριστήριον:

Τῷ χάριτας ἡμῖν ὡμολογηκότι δεξιῶς ἀπαντήσωμεν; τὴν μὲν παρ' ἡμῶν εὐεργέτησιν συστέλλοντες ὅσον ἐστὶ μετὰ κόσμου, καὶ ἐξευτελίζοντες. καὶ ὅπως ἐστὶν ὀφειλομένη ἀποδεικνῦντες τῷ εἰληφότι, ἢ δι' ἀρετήν, ἢ φιλίαν, ἢ ἀμοιβὴν προαποκειμένης εὐεργεσίας. τὴν δὲ προθυμίαν τὴν ἡμετέραν, ὅση δύναμις, μείζονα ἐπιδείξομεν. καί που καὶ τὴν τύχην μεμψόμεθα, ὡς μὴ χορηγοῦσαν ἱκανῶς χαρίσασθαι ὅσα βουλόμεθα: Εἰ δὲ καὶ μείζονος εἴη ἀξιώματος ὁ τὴν χάριν ὡμολογηκώς, ἢ καὶ καθ' ἡμᾶς, καὶ χάριτας ἀνθομολογήσομεν. ὡς τὴν χάριν ἀποδεδεγμένῳ καὶ μὴ ἐξουθενήσαντι τὸ παρ' ἡμῶν. τούτων ἥδιον περὶ τὸ ἀπολαύειν λέγοντες τῶν ἐν τῷ ζῆν, ὅσα τοῖς φίλοις ὑπουργῆσαι ἔχομεν.

χάριν αὐξήσομεν· μείζονα φάσκοντες ἐκ τῆς συμβουλῆς τῆς ἐκείνων κεκαρπῶσθαι τὴν λυσιτέλειαν. Εἰ δὲ μή τι τοιοῦτον συμβῇ, τὴν γοῦν γνώμην αὐτῶν ἐπαινέσομεν. Τέλος δ' ἀνθ' ὧν ἀπειλήφαμεν, λαμπρὰς τὰς ὑποσχέσεις ποιησόμεθα τοῖς εὐεργετήσασι, τοῖς ἴσοις εἰ δυνατὸν καὶ μείζοσιν ἀμείψασθαι φάσκοντες. ἢ χρῆσθαι τοῖς ἡμετέροις ἐπιτρέψομεν, εἴ τί που χρήσιμον εἶναι δόξῃ: Εἰ δὲ τῆς ἀξίας ἐκείνων ὑποδεέστερα παρὰ πολὺ τὰ ἡμέτερα, ἀλλὰ γοῦν τῆς εὐεργεσίας ἀνάγκαιον ἐς ἀεὶ μνημεῖον ἐγγυησόμεθα; Ἔστι δὲ καὶ πλαγίως τὴν τῆς χάριν ἀποσημαίνειν, μὴ ἀποσημαίνοντα, καὶ μηδὲν ὑπισχεῖσθαι, τὰ μέγιστα ἔστι τις ἢ διὰ μέγεθος τῆς εὐεργεσίας παραιτῆται τοὺς ἐκείνης ἐπαίνους, ὡς ἀπορῶν δῆθεν λόγων, οἷς ἂν οἷα δεῖ παραστήσαιτο. ἢ διὰ τὴν ἄκραν πρὸς τὸν εὐεργετηκότα φιλίαν, μὴ ἐνδέχεσθαι χάριτας ἀλλήλοις ὁμολογεῖν, ἢ ἀμοιβὰς ἐπαγγέλλεσθαι. ἢ διὰ τὴν ὑπερβολὴν τῆς ἐκείνου πρὸς ἅπαντας εὐεργετικῆς προαιρέσεως, κοινὴν εἶναι λέγων τὴν προθυμίαν, οὐδ' εἰς ἀμοιβὰς ἀποβλέπουσαν, ἀλλ' ἐξ οἰκείας φύσεως εἰς τὸ εὐεργετεῖν ἀναγκάζεται. διὸ οὐδὲ θαυμαστὸν εἰ καὶ πρὸς ἡμᾶς τὴν αὐτὴν ἐνεδείξατο. τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν.

Ὑπόδειγμα.

Τίς οὕτω λιμὴν χειμαζομένοις ἐράσμιος ἐφάνη τοῖς πλέουσιν, ὡς ἐμοὶ τὰ παρὰ τῆς ἱερᾶς σου συνέσεως γράμματα; ἅπερ οὐχ ἧττον ἐμὲ ἧσαν, ὡς ἑαυτοῦ. μέγα γὰρ ἔμοιγε καὶ γράμμασιν ἐντυγχάνειν τοῖς παρὰ σοῦ. μέγιστον δὲ, τὸ καὶ λόγον εἶναι σοι περὶ ἐμοῦ, καὶ μνήμης ἀξιοῦσθαι τοῖς παρὰ σοί. πῶς γάρ; οὐκ ἂν εἰ τοῦ Ἀλωέως ἀναβλέψαι τὸ ὕψος ἠδύνησο. τὸ δὲ καὶ χαμαὶ κείμενον ἐμὲ

το-

χρήσει τὰ εἰρημένα περὶ ἐκείνου. Ἄλλως τε, μηδὲ τοῦ ἐγκωμιαστικοῦ χαρακτῆρος ἐξ ἁπάντων ἅμα λαμβανομένου φιλοῦντος ὡς ἔφημεν. καὶ τοῖς ἐν ἐπιστολαῖς ἐγκωμίοις τῶν ἀρχαιοτέρων, τοιούτοις ἐξὸν ἐντυχεῖν χρεὼν παρὰ πᾶσι.

Περὶ χαριστηρίου:

Ἡ χαριστήριος ἐπιστολή, χάριτος ἐστὶν ἐξάγγελσις αὐξητικὴ παρὰ τοῦ εὖ πεπονθότος, εἰς κόσμον ἀφορῶσα καὶ ἔπαινον τοῦ εὖ δράσαντος, ὅθεν ἀπεικότως εἰς τὸ Ἐπιδεικτικὸν ἀναφέρεται γένος. εἰ δὲ καὶ προσηκόντως ὁμολογῆσαι τὴν χάριν ἀποδοῦναι ἐστι ταύτην, εἴη ἂν καὶ ἀπόδοσις χάριτος: Λαμβάνεται δὲ μάλιστα ἐκ τριῶν. ἐξ αὐτοῦ τοῦ πράγματος. καὶ τοῦ πρὸς ὃν ἡ χάρις. καὶ ἀφ' οὗ. Τὸ μὲν οὖν πρᾶγμα καθ' ἑαυτὸ ἱκανῶς θαυμάσαντες, αὐξήσομεν ἐκ τῶν περιστατικῶν. ὅτι ἑκουσίως καὶ μετὰ προθυμίας· τὸ γὰρ ἀκούσιον, ἀναιρετικὸν ἐστὶ χάριτος. εἶτε ταχέως καὶ εἰς καιρόν. ὡς γὰρ αἱ ταχεῖαι χάριτες γλυκερώτεραι λέγονται, οὕτω καὶ πανταχοῦ τὸ ἄκαιρον λυπηρόν. εἰ τῆς αἰτήσεως ἀφθο-ἀφθονεστέρα τὴν χάριν ἐδαψιλεύσατο: Ἐκ δὲ τοῦ ἀπενεγκόντος τὴν χάριν, εἰ καὶ οὐδὲν ὀφειλόμενον ἦν. εἰ ὑπὲρ τὴν ἀξίαν, καὶ οὐδὲν προσδοκῶντος: Ἐκ τοῦ πεποιηκότος δ' αὖ, εἰ παρ' οὗ καὶ ἄλλοτε πολλάκις. καὶ ᾧ μᾶλλον ὀφείλεται χάρις παρὰ τῶν εὖ πεπονθότων. εἰ παρ' οὗ μεγίστη χάρις καὶ προσηγορίαν τυχεῖν μόνης, ἢ τῆς εὐνοίας. καὶ ᾧ μάλιστα χαίρομεν, καὶ μὴ χαριζομένῳ, καὶ μὴ χρεφόντι, καὶ τὰ ἑξῆς:

Πρὸς δὲ τοὺς ἀγαθῇ βουλῇ πειραθέντας ὠφελῆσαι, ἢ καὶ ὠφελήσαντας, ἰδιαίτερον ἀντιφιλοτιμησόμεθα, ἐκείνους τε ὑπερεπαινοῦντες τῆς ἀρίστης εἰσηγήσεως, καὶ ταύτην ἐκ συγκρίσεως. πρὸς δὲ τὴν διὰ χρημάτων ἢ λόγων γενομένην

Ἄλλο·

Εἰ μὲν ὃ μέλλει συνοίσειν, τἀμὰ τοῖς πολλοῖς διηγούμενος, ἐκεῖνο ὑπείληφας, ὅτι με δι' εὐφήμου ἄγων μνήμης προθυμότερον περὶ τὴν ἐπιμέλειαν τῶν πολλῶν ἀπεργάζῃ τοῖς λόγοις, ἤδη καὶ πρὸ τῶν γραμμάτων πέρας σοι ἔχει τὰ τοῦ σκοποῦ. οὔποτε γὰρ τοῦγ' ἐπ' ἐμοὶ τῆς οὔσης ἀπολειπόμενον ἐπιμελείας, οὐδ' ὅσον εἰς ἐμὲ ἥκει ὑποληφθήσομαι. Εἰ δὲ τοῖς κατ' ἐμοῦ ἐγκωμίοις, τοὺς ἄλλους εἰς ζῆλον διαναστῆσαι δοκεῖς, ὅρα μή σοι εἰς τοὐναντίον περιστταίη τὸ φιλοπόνημα. καὶ λάθοις λυμήνας μᾶλλον τοὺς ἀρετῆς ἐχομένους, ἢ τοῖς ῥαθυμοτέροις συνεργῶν. οἱ γὰρ τοῖς τῶν ἄλλων ἐπαίνοις ἐντυγχάνοντες, οὐ σφᾶς ἑαυτοὺς οἵους ὁ ἐπαινῶν διαγράφει παρέχειν ἀξιοῦσιν, ἀλλ' οἷος ἐστὶν ὁ ἐπαινούμενος ἐξομοιώσασθαι σπεύδουσιν. εἰ μή που φαίης, ὡς ἐμὲ ἐπαινῶν, προθυμοτέρους ἀπεργάζῃ τοὺς ὑπηκόους εἰς ὑπουργίαν τῶν προστατομένων. πᾶσι μὲν γὰρ τοῖς ἄρχουσιν ὀφείλεται δήπου εὐπείθεια. τοῖς δέ γε σπουδαίοις, καὶ μᾶλλον τῶν ἄλλων· Γράφοις δ' οὖν εἴτε τοῖς ἄλλοις παρέχων ὑπόδειγμα, κἀμὲ παρορμῶν, εἴτ' ἄν σου καὶ τῶν λόγων θεατρίζων τὸ κάλλος, ὅπως ποτ' ἂν ἔχοι τὰ περὶ σοῦ, ἡδονῆς ἡμῖν οὐ τῆς τυχούσης καὶ χάριτος μνηστεύεται πρόφασιν:

Περὶ Ἐπαινετικοῦ χαρακτῆρος:

Ὁ ἐπαινετικὸς χαρακτὴρ, τὰ μὲν ἄλλα ὁ αὐτός ὢν τῷ ἐγκωμιαστικῷ, κατὰ τοσοῦτον ἐκείνου διαφέρει, καθ' ὅσον καὶ τὸν ἔπαινον τοῦ ἐγκωμίου διενηνοχέναι φασί τινες. ὁ μὲν γὰρ ἔπαινος, ἐξ ἑνός τινος τῶν κατορθωμάτων τοῦ ἐπαινουμένου λαμβάνεται, καὶ διὰ βραχέων ἐκφέρεται. τὸ δ' ἐγκώμιον ἐκ πολλῶν, καὶ διὰ πλειόνων ἅμα, καὶ μετὰ τέχνης μᾶλλον κατασκευάζεται. διὸ καὶ πρὸς ἐργασίαν τούτου, ὑπο-

χρήσει

θεῖς, ἔνθα ἂν ἀμυδρὸν ἀρετῆς εἴδωλον εἰκάζεται, καὶ αὐτὴν εἶναι τὴν ἀρετήν. τὸ δ' οὐχ οὕτως ἔχειν ἡγοῦμαι. οὐ γὰρ ἀεὶ ἕπεται τὸ εἶναι τῷ δοκεῖν. σὺ δ' ἀλλ' ἴσως ἔρωτι χαριζόμενος τῷ πρὸς ἐμὲ, εἰς τὸ ὑπεράγαν τῶν περὶ ἡμᾶς ἐπαίνων ἐκπέπτωκας. δειναὶ γὰρ φασὶν εὔνοιαι δικάσαι τὰς ψήφους. Ὅτι χάριν μεγίστη σοι παρ' ἡμῶν ὀφείλεται χάρις. καὶ τὸ πρῶτον ἐστὶ συγγνωστέον, διὰ τὸ δεύτερον. εἰ γὰρ καὶ σοφοῖς οὐκ ἔφειται τῶν περὶ σοφίας ψήφοις ἐξαμαρτάνειν, ἐρῶσι μέν τοι καὶ μάλα:

Ἄλλο.

Ἐγώ σε καὶ πρότερον τῆς περὶ λόγους δεινότητος ἐθαύμαζον, νῦν δὲ καὶ τῆς γνώμης ἐπῄνεσα. σχεδὸν γὰρ ἐν πολλοῖς καὶ ἄλλοις ἐπιδείξασθαι, ὅσον ἐστὶ σοι τὸ ἐν λόγοις φιλότιμον, τὰ ἐμὰ ἀντὶ πάντων προείλου. οἷς καὶ οὐ τοσοῦτον ἥσας, ὅσον με ὤνησας. οὐ γὰρ ὡς ἐπαινέσων ἐμὲ τοσοῦτον ἦρας τοῖς λόγοις καὶ ἀποσέμνυνας, ἀλλ' ὡς νουθετήσων μᾶλλον ἐν ἐπαίνου προσχήματι, εἴ τι ἐγώ σου συνίημι. τὸ γὰρ ὁμολογουμένως τοῖς πᾶσιν ἀρετῆς ἀμοιροῦντι κόσμον ἀρετῆς περιάπτειν τοσοῦτον, ὡς ἐκ τοιούτων προγόνων καὶ πατρίδος προελθόντα, τῆς τοιαύτης εὐγενείας τετυχηκότα, παντοίαις ἀρεταῖς κατηγλαΐσθαι ἀξιοῦντός ἐστιν. οὐδὲ γὰρ ἄλλο τι ὑποτοπάσαι ἐστὶν ἀληθέστερον, οἷς ἐν ἐμοὶ λειμῶνας ἀρετῶν καὶ ἄνθη καὶ καρποὺς ἀναπλάττεις. καὶ φιλόπονον, τὸν οὐδ' ὁπωσοῦν πειραθέντα φιλοπονίας καλεῖς. καὶ ἐπὶ τὰ τῆς φιλοσοφίας ἀνάγεις ἀνάκτορα, τὸν μόλις ἄκρῳ δακτύλῳ παιδείας γευσάμενον. οὐ γὰρ εἴποις, ἐκ τῶν παρεληλυθότων προσεικάζειν τὰ μέλλοντα. τοῦτο γὰρ καὶ ἄλλως ἀβέβαιον ὄν, διὰ τὸ ἀμετάβλητον τῶν ἀνθρωπίνων, καὶ μαντευομένου μᾶλλον ἢ ἐγκωμιάζοντος. Ἀλλ' αὐτὸς διά τοι τοῦτο, καὶ μείζονας ὁμολογῶ σοι τὰς χάριτας. καὶ εἶεν γ' ὦ Μοῦσαι καὶ Χάριτες, σὺ μὲν τούτοις τὸ ἐν λόγοις παρὰ πᾶσιν ἀποφέρειν ἀεὶ καλλιστεῖον. ἐμὲ δ' εἰς ζῆλον τὸν αὐτὸν διεγείρειν:

Ἄλλο

τὸ ὑπὲρ ἄγαν τῶν περὶ ἡμᾶς ἐπαίνων· ἢ ἐπὶ λόγων δυνάμει φιλοτιμεῖσθαι. ὅις καὶ ἐπ' αὐτῷ τούτῳ θαυμάσομεν. ἢ κρίνειν ἀφ' ἑαυτοῦ τὰ τῶν ἄλλων, καὶ δι' ἡμῶν τὰ ἴδια ἐξαγγέλλοντες. ἢ ἄλλου του ἕνεκα. τὰ δὲ ἡμέτερα, ταπεινώσωμεν, ὑποκοριζόμενοι: Εἰδ' ἀπό τινος τῶν καταδεεστέρων πρὸς ἡμᾶς ὁ ἔπαινος γένοιτο, χάριτας μὲν ὁμολογήσωμεν ἐκείνῳ τῆς πρὸς ἡμᾶς εὐνοίας. ἐροῦμεν δ' ὡς οὐδ' ὅλως τὰ ἡμέτερα τοιαῦτα, οἷα ἐκεῖνος κατίλεξεν. ἀλλ εἴπερ καὶ τοιοῦτον ἐστὶ, πάντως κἀκείνῳ κοινόν. τοιαῦτα γὰρ τὰ τῶν φίλων:

Ὑπόδειγμα.

Εὐδαίμονα τὸν τῆς Θέτιδος, ὁ Φιλίππου ἀπεκάλει Ἀλέξανδρος, ὅτι Ὁμήρου ἐπαινέτου τετύχηκεν. ἑαυτὸν δ' ὡς ἀτυχῆ ἀπωδύρετο, τοιαύτης φωνῆς ἀμοιρήσαντα. καὶ ἦν τῷ Ἀλεξάνδρῳ ἡ τοῦ Ὁμήρου ἠχὼ (εἴγε παρῆν) αὐτάρκης πρὸς εὐδαιμονίαν. ὥσπερ ἀποῦσα, ἀφορήτου δυστυχίας ἐδόκει παραίτιος. Σὺ δὲ, δύνασαι μὲν, ὅσα καὶ Ὅμηρος. λέγεις δὲ, ὑπὲρ ἐκεῖνος, χαριζόμενος ἔρωτι. ὡς τὸν χαμαὶ κείμενον ἐμὲ, τοσοῦτον ἦρας ἄνω τοῖς γράμμασι καὶ ἀναπτερώσας, ὥστε μοι δοκῶ μηκέτι ἐπὶ γῆς βαίνειν. καὶ Μακεδόνος ἐκείνου μᾶλλον εὐδαίμονα ἔδειξας, σοῦ τυχόντα ἐπαινέτου. καί με τοιαῦτα φρονεῖν περὶ ἐμαυτοῦ πείθεις οἷς λέγεις, καὶ πείσαις οἷα καὶ βούλοιο:

Ἄλλο

Οἱ πρὸς τὸ κάλλος ἔχοντες ἐρωτικῶς, καὶ τὰς τῶν καλῶν εἰκόσιν ἐκτόπως χαίρουσι. καὶ μικρὰ τις πρόφασις, ἱκανὴν φαντασίαν ἐμποιῆσαι τῆς ἐκείνων παρουσίας. οἶδα δὴ καὶ αὐτὸς τὰ νῦν περὶ ἐμὲ πέπονθας τῷ περὶ τὴν ἀρετὴν ἀγώμενος ἔρωτι. μικρὸν γὰρ τι ἡμῖν ὁμιλήσας, καὶ ἐκ μικρῶν συμβόλων, ὧν ἐν ἐμοὶ τῆς ἀρετῆς ἔγνων· ἢ μᾶλλον εἰπεῖν, ἐγνωκέναι ὑπείληφας, τὸ πᾶν παρὰ σαυτοῦ προστιθεὶς, ὅπως ἐμοὶ ποικίλων ἐγκωμίων ἀνεπλέξω τὸν στέφανον. ὥσπερ οἰηθεὶς,

καλῶς ἀγάγειεν, ὅτι μὴ σύ; τὸν σώφρονα, τὸν καρτερικὸν, τὸν φιλάνθρωπον, τὸν μέτρα φρονήσεως ἀνθρωπίνης νικήσαντα· ὁ μόνος, ἢ μετ᾽ ὀλίγων, ἄρχων φιλόσοφος. ὃς βραχὺ δέῃ παιδείας διὰ τὴν φύσιν. ἧττον δ᾽ ἂν φύσεως, διὰ τὸ ἄκρον τῆς παιδεύσεως. εὐῤῥοῶν μὲν τοῖς παρὰ τῆς τύχης ὑπὲρ τοὺς πολλοὺς, κέχρηται δ᾽ οὐχ ὡς οἱ πολλοί. τοσοῦτον μόνον ἀπολαύων τοῦ πλούτου, ὅσον ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ· τῷ λοιπῷ δὲ, φίλοις τε κἀγαθοῖς ἀνδράσι γινόμενος χρήσιμος. ἄλλοι μὲν ἐπὶ πατρίδος καὶ γονέων μέγα φρονοῦσι λαμπρότητι· σοὶ δὲ τούτοις καὶ ὑπὲρ τοὺς πολλοὺς ἐναβρύνεσθαι δυναμένῳ, οὐδὲν πρὸ τῆς ἀρετῆς τίθεται. εὐδαίμων ἡ πόλις ἧς ἄρχειν κεκλήρωσαι· εὐδαιμόνων πατέρων παῖδες οἱ ὑπὸ σοί· καὶ εἴ τινες εἰσὶ δαιμόνιοι φύσεις ἐπιστατοῦσαι τῶν πόλεων, (ὥσπερ καὶ ἔστι πιστεύεται) οἶμαι σου τὴν τούτης ἔφορον λίαν ἡσθῆναι τῇ παρουσίᾳ· καί σοι χάριν εἰδέναι, τῆς ἀδόλου τε καὶ ἐπιμελοῦς διοικήσεως. ἧς ὅσον ἐστὶν ὑψηλὸν τὸ ἀξίωμα, τοσαύτη καὶ ἡ παρ᾽ αὐτοῦ ὠφέλεια καὶ ὁ ἔπαινος. οἷα δή που καὶ ποιητῶν καὶ Ῥητόρων τὰ στόματα πίμπλησιν. Ἀλλά σοι ἐπιμήκιστον ἡ τῶν ἑλληνικῶν ἀρχὴ γένοιτο, προάγοντι καὶ συμπροαγομένῳ ἀεὶ τελειότερον :

Ἀπάντησις πρὸς τὸν Ἐγκωμιαστικόν :

Εἰ δὲ καὶ πρὸς ἡμᾶς ὁ ἔπαινος, τὴν ἐκ τῶν γεγραμμένων ἔχοντες ὕλην, ἀπαντήσομεν. καὶ εἰ μὲν μεῖζον εἴη τὸ ἐκείνου πρὸς ἡμᾶς ἀξιωματικὸν, ἢ καὶ ὅμοιον, ἐροῦμεν, νουθεσίαν ἄντικρυς γράφειν τοὺς φίλους, ἐν ἐπαίνου σχήματι. οὐχ οἷοι ἐσμὲν, ἀλλ᾽ οἵους ἔδει εἶναι διατυποῦντας τοῖς γράμμασιν· ἢ σκῶψαι βουλόμενοι, εὐτραπελείας χάριν ταῦτα κομψεύονται. ἢ ἔρωτι χαριζομένους, ἐκπίπτειν εἰς

γνωρίσματα. ταῦτα τῆς Ἀτείτου φιλοπονίας τὰ ἔκγονα. μικρὰ δέ σε περιέχειν τῇ τύχῃ (ἡ περὶ σὲ τοσοῦτον ἐσπούδασε) διανοίας ἐστὶν ὑψηλῆς τὸ τεκμήριον. τὴν λοιπὴν τῶν περὶ σὲ χαρίτων ἀγλαΐαν, τό γε νῦν εἶναι παρίημι. τοῦτο μὲν, ἵνα μὴ τοῦ κατ' ἐπιστολὴν μέτρου ἐκπίπτοιμι. τὸ δ', ὅτι καὶ πρόδηλος. ὧν γὰρ πατρὶς μὲν, Ἀθῆναι, ἡ περιφανεστάτη τῶν ἑλληνίδων. γονεῖς δὲ, οἱ τὰ πρῶτα ἐν ταύτῃ φέροντες. καὶ νόος μὲν ὀξύτης ὑπὲρ τοὺς πολλούς. φιλοπονίᾳ δὲ σχεδὸν ὑπὲρ ἅπαντες. πῶς οὐκ εἰκὸς εἰς αὐτὸν ἀναδραμεῖν τῶν ἀρετῶν κολοφῶνα ὡς οἷόν τ' ἐνδέχεται; καὶ προδοκιμῆσαι οὐ τῷ τυχόντι μέτρῳ τοὺς καθ' ἡμᾶς, ἀλλὰ καὶ τοὺς πρὸ ἡμῶν ἐν λόγοις τρυφήσαντας; ἔστι γὰρ ἔστι, διὰ μὲν τὸ γένος, ῥᾳδίως νικᾶν, ὅσοι μὴ Ἕλληνες. παρὰ δὲ τὴν πατρίδα, τοὺς Ἕλληνας· λαμπρότητι δὲ τῶν προγόνων, καὶ τοὺς ἐκ τῆς Ἀττικῆς ὑπερπαίειν λογάδας. οἷα δή σε καὶ φήμη μαντεύεται, καὶ λόγοι πιστεύουσιν, ἣν οὐδὲ ψεύδεσθαι θεὸν οὖσαν, ὥσπερ οὐδὲ τοὺς λόγους ἀπατᾶσθαι θέμις ἐστίν. οἳ καὶ νεὼς ἐπιβάντες, ἤδη καὶ κώπης ἥψαντο, καὶ ὅλοις ἱστίοις πρὸς σὲ θέουσιν. οὓς εἴθ' εὐμενῶς δέξαιο. κἂν δοκῇ ἄνθεσι τοῖς παρὰ σαυτοῦ ἀναδήσας, ἐπανιέναι παρὰ τὸν πέμψαντα κέλευσον· εἰ δ' ἀποδοκιμάσαις (ὅπερ ἀπεύχεσθαι δίκαιον) οὐδὲν αὐτοῖς ἀπειλήσομεν ἕτερον, ὅτι μὴ τὰς πτέρυγας περιελοῦμεν, ὡς μή σοι δι' ὄχλου γίγνοιντο τοῦ λοιποῦ ἀφικνούμεναι:

Ἄλλο·

Οὐ μὰ τοὺς λόγους αὐτοὺς, οὐ τῆς τῶν ἐν ἀξιώμασιν εὐνοίας θεραπευτὴς ἐγώ. οὐδ' ἵνα σου τὴν δύναμιν καρπώσωμαι γράφω. ἐμπόρου γὰρ τοῦτο. ἀλλ' ἵνα μὴ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ διαφύγῃ. καὶ τὸ πλέον, ὡς σοῦ τὰς ἀρετὰς ἐξαγγείλας, γενοίμην τοῖς ἀκούουσιν ὄφελος. τίνα δ' ἂν καὶ ἄλλον οἱ λόγοι δι' εὐφήμου μνήμης δι-

γεγονότα, ἐς τὰ τῆς φιλοσοφίας ἀνακλήρια ἀπιδεῖν, τῆς εἰασσοῦ ὑπερβολῆς εὐγενοῦς φύσεως τεκμήριον κρίνεται. τὸ δὲ καὶ τοσαῦτα καλὰ διαῤῥῆσαι πελάγη, τοσούτοις τε καὶ τηλικούτοις κινδύνοις καὶ πόνοις ὑπενεγκεῖν, ἐφ᾽ ᾧ τῆς ἀρετῆς ἐπήβολος γένοιο, οὐχ ὅπως εὐγενείας ἐστὶν ἔλεγχος, ἀλλὰ δὴ καὶ προαιρέσεως καλλίστης τε καὶ γενναιοτάτης. τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλόν. τοῦτο τοῖς εὖ φρονοῦσι τὸ τιμαλφέστατον. ἐκεῖνο δὲ ὅτι καὶ εἰς τέλος ἥκεις τοῦ κυνηγεσίου, διὰ πάσης ὡς εἰπεῖν ἐλθὼν ἐλευθερίου παιδείας, καὶ εἰς αὐτὴν ἀναδραμὼν τὴν ἀρετῶν τὴν ἀκρόπολιν, τῷ καλλίστῳ τε καὶ καθαρωτάτῳ τῆς ψυχῆς, τῇ ἀκηράτῳ αἴγλῃ διατελεῖς ἐλλαμπόμενος. οὐκ ἔτι ἀνθρώπινον ἔγωγε θείην ἄν. ἀλλ᾽ ὧν οἱ πάλαι θεοὺς καὶ θεῶν ἀπεκάλουν παῖδας. καὶ εἴθε σοι ὥσπερ τοῖς λόγοις τὴν πάλαι τῆς πατρίδος ἀνεκαλέσω εὔκλειαν, οὕτω διὰ τὴν αὐτῶν ἐξεγένετο, καὶ τὴν λοιπὴν εὐδαιμονίαν περιποιήσασθαι:

Ἄλλο.

Εὖ γε ἡ ποίησις περὶ περιείληφε τοῖς λόγοις. ὀξεῖς γὰρ εἰσὶ θηραταὶ τῶν καλῶν, καὶ φοιτῶσιν ἑκασταχόσε ὅπερ ἂν τοὺς καλοὺς αἴσθωνται. κἀκείνοις τελοῦσιν, ὅσα καὶ τὰς ὥρας οἱ μῦθοι φασὶ τῷ ἡλίῳ. καὶ δὴ ἀφικέσθαι καὶ παρὰ σὲ ἐπείγονται. ἤδη γάρ σε παρὰ τῆς φήμης ἐπύθοντο, ἱερὸν εὐτρεπίζεσθαι τῶν ἀρετῶν ἐνδιαίτημα. ὅσαι τε διανοητικαὶ, καὶ τῆς περὶ τὰ ἤθη φιλοσοφίας τυγχάνουσιν. ὥσπερ γὰρ ἐν λειμῶνι πολυανθεῖ τῇ εὐγενεῖ σου ψυχῇ, αἱ μὲν ἀνθεῖ ἄρτι πιστεύονται. αἱ δὲ πέρυσι τῶν καλύκων προκύψασαι. ἄλλαι δὲ καὶ καρποὺς ἤδη προΐενται. εἰσὶν αἳ καὶ πεπείρους φέρουσαι, εἰς σφῶν μετάληψιν τῷ κάλλει διανιστᾶσι τοὺς ἐραστὰς τῶν καλῶν. ταῦτα δαιμονίας εἰσὶ φύσεως τὰ

γεω-

ἐπὶ τούτων εἰδέναι σωφρονεῖν. καὶ ἐν τοσαύτῃ τῇ ἔξω ἀδεία, μὴ περιορᾶν τὸ τοῦ ἤθους φιλόσοφον. Ἐγὼ δ' οὖν καὶ ταῦτα θαυμάσας ἔχω, σφόδρα γὰρ ἂν εἴην ἄτοπος. ἐκεῖνο μέν τοι τὴν σὴν ὑπερήγαμαι, τὸ ὑψηλὸν τῆς παιδείας, καὶ οὐχ ἥκιστα τὸ ὑπέροχον τῆς φρονήσεως. ἅτα καὶ μόνα χαρακτηρίζειν πέφυκε τὴν τελεωτάτην ἐν ἀνθρώποις ἀγωγήν. ἄμφω δ' ἐν σοὶ οὕτως ἐς ἄκρον συνέδραμον, ὡς οὐδενὶ θάτερον. οἷα γὰρ ἐπὶ σοὶ φύσις καὶ τέχνη φιλοτιμησάμεναι, τὴν ἐν ἑκατέρᾳ δυνάμεως τὴν ἐπίδειξιν πεποιήκασιν. ἀλλ' αἱ μὲν, ὅσον εἶχον φιλοτιμίας ἐκκενώσασαι, οὐδετέρα πρὸς ἑτέρας παραδεδοκίμηνται. σὺ δὲ ἔλαθον νίκην τὴν ἑαυτόν ἀποδείξασαι. τὴν μὲν γὰρ ὑπερπαίοις τῷ τάχει τῆς φύσεως. τὴν δ' αὖ φύσιν, διὰ τὴν παίδευσιν. δὸς εἰπεῖν καὶ ἀμφοῖν ἑκατέραν:

Ἄλλο.

Κωφὸς φασὶν ἀνὴρ, ὅς Ἡρακλεῖ στόμα μὴ παραβάλλοι. ἐγὼ δὲ τὴν μὲν πεῖραν τὴν σῶν ἐγκωμίων λαβόντα, οὐ μᾶλλον κωφὸν, ἢ βάσκανον εἴποιμι. οὕτω γὰρ αἱ σαὶ πᾶσιν ὡς εἰπεῖν ἀρεταὶ πανταχοῦ διατεθρύλλωνται, ὡς καὶ αὐτὰ δὴ τὰ ἄψυχα ζωπυρήσειεν ἂν, τὰ σὰ πρὸς ἐγκώμιον ποιηταῖς ἀφημούμενα. τί γὰρ τῶν σῶν οὐκ ἐπαινετὸν; ἢ μᾶλλον εἰπεῖν, τί τῶν ἐπαινουμένων οὐκ ἐν τοῖς σοῖς; τὸ νηφάλιον, τὸ κόσμιον, τὸ τοῦ ἤθους φιλάνθρωπον. τὸ ὑπὲρ τοῦ δικαίου ἐλεύθερον. ἀγῶνας καὶ λόγους ὑπὲρ τῆς ἀληθείας παρίειμι. ὧν ἕκαστον ἐξήρκει καὶ μόνον τοῖς ἔχουσι πρὸς ἐγκωμίων ὑπόθεσιν. Ἐμοὶ δὲ τὸ ἐν τοσαύτῃ τῶν ἑλληνικῶν καταπτώσει, καὶ τοὺς τῶν κρατούντων τυραννίδος ὁμότητι, μὴ ὅτι ζῆν ὑπὲρ τοὺς πολλοὺς ἀγαπήσαντα, ἀλλὰ καὶ δουλικὸν περιφρονῆσαι ζυγὸν, καὶ ἐν τοσούτοις δεινοῖς εὐέλπιν

γεγονότα,

δεῖς, ἢ πάνυ ὀλίγοι τοσαῦτα καὶ τηλικαῦτα ἐργάσαιντο: Εὐπορήσομεν δὲ καὶ ἐκ τῶν ἐναντίων ἐγκωμιάζειν. δεικνῦντες τὰ ἐναντία, οἷς εἰργάσατο, αἰσχρὰ, ἀσύμφορα, ἐπίψογα, καὶ τὰ ὅμοια: Ἐκ δὲ τοῦ δευτέρου μέρους τὰς ἀποδείξεις τῶν ἐγκωμίων θηρώμενοι, ἐροῦμεν, ὅτι χαρίεντα, ὅτι ἀγεννοῦς ψυχῆς εἰσὶν ἔλεγχος. καὶ ἡδονὴ μὲν ἀποκρύπτουσι καὶ σειρῶνας καὶ χάριτας. ἐπαινεῖ δ᾽ ἐπὶ πᾶσι τὸ τοῦ ἤθους σπουδαῖον, οἷς καὶ ἐπιεικῶς καὶ μετ᾽ ἀρετῆς κέχρηται: Ἐκ δὲ τοῦ τρίτου, ὅτι ἀρετῆς ἆθλον ἔχει, ἢ δῶρον τύχης. καὶ ὅτι φθάνοντα ὑπερίσχυσεν ἡ πρόνοια. καὶ ὅτι καλῶς διῴκησε, δικαίως ηὔξησε. μᾶλλον ἐτίμησεν, ἢ παρ᾽ αὐτῶν ἐτιμήθη. Συνεστάλθω μέντοι ὡς οἷόν τε τὸ ἐν ἐπιστολαῖς ἐγκώμιον. οὐδ᾽ ἀπὸ πάντων ἅμα εἰλήφθω τῶν εἰρημένων, ὅτι μὴ κατ᾽ ἀπαρίθμησιν, ἀλλ᾽ ἀπὸ τῶν ἐμφανεστέρων ὧν εὐπορεῖ ὁ πρὸς ὃν γράφομεν. καὶ εἰς αὐτὸν μάλιστα χαίρειν οἰόμεθα. " ἕκαστος γὰρ οἷς ἥδεται φασὶ, τούτοις καὶ τιμώμενος γάν- " νυται: Μιμήσασθαι δὲ ἡμῖν ἔξεστιν ἐπὶ τοῦ παρόντος, τῶν Ἰουλιανοῦ τὴν. λγ. πρὸς Ἰάμβλιχον. ιϛ. πρὸς Λιβάνιον. τὴν. η. πρὸς Γεώργιον. Συνεσίου τὴν. γ. τῶν πρὸς Ἑρκουλιανὸν. καὶ. ϛ. καὶ. λα. καὶ τῶν ἄλλων συχνάς: Συμπεραίνεις δὲ ἐγκωμιαστικοῦ χαρακτῆρος ἐπιστολὴν δεξιῶς, ἤτοι μείζονα ἀγαθὰ εὐξάμενος. ἢ διάρκειαν τῶν προσόντων. ἢ ἀναῤῥήσει τῶν μελλόντων. ἢ ἐρωτήσει διαπορητικῇ περί τινος, μάλιστα παραδόξου διστάζων. ἢ γνώμῃ καὶ παροιμίᾳ τινὶ προσφυῶς ἐπαγομένῃ τῷ λόγῳ. καὶ τοῖς τοιούτοις.

Ὑπόδειγμα.

Οἱ μὲν πολλοί σου τὸ γένος καὶ πλοῦτον θαυμάζουσι, καὶ τὴν ἐπὶ πᾶσιν ὥσπερ ἐν φθόγγοις εὐαρμοστίαν τοῦ σώματος. ὁ δὲ ὑπὲρ τοὺς πολλοὺς καὶ τοῦ τρίβωνος, τὸ καὶ

ἐπὶ

Τοῦ ἐπιδεικτικοῦ γένους τύπος πρῶτος, περὶ Ἐγκωμιαστικοῦ:

Ἐγκώμιον μὲν οὖν ἐστὶν, (ὥς φησιν Ἀριστοτέλης) προαιρέσεων καὶ πράξεων ἐνδόξων καὶ λόγων αὔξησις, καὶ μὴ προσόντων ἐνοικείωσις. Ἐγκωμιάζονται μέν τοι πολλάκις καὶ ζῶα, καὶ πόλεις, καὶ φυτὰ, καὶ λειμῶνες, καὶ ποταμοὶ, καὶ αἱ τοῦ ἔτους ὧραι. ἀνθρώπῳ δὲ, διαφερόντως τῶν ἄλλων, κόσμος οἰκεῖος ἐστὶ τὸ ἐγκώμιον. Ὕλη δὲ οἰκειοτάτη ἐγκωμίῳ ἀνθρώπου, σοφία. φρόνησις. σωφροσύνη. ἀνδρεία. δικαιοσύνη. καὶ αἱ λοιπαὶ τῶν ἀρετῶν, αἱ διὰ τῶν ἰδίων ἐνεργειῶν δηλοῦνται καὶ θαυμάζονται. λαμβάνεται δὲ, οὐκ ἀπὸ τούτων μόνον, ἀλλὰ καὶ τῶν τοῦ σώματος. οἷον κάλλους. ῥώμης εὐεξίας. ὑγείας. καὶ ἀπὸ τῶν ἐκτὸς. οἷον. πατρίδος. γένους ἀναστροφῆς. περιουσίας χρημάτων. κλιμάτων ἀφθονίας. ἀξιωμάτων. φίλων. καὶ τῶν ὁμοίων. οἷς ἅπασι χρώμεθα εἰς ἀπόδειξιν ἀναφέροντες, τῶν τῆς ψυχῆς ἀγαθῶν, καὶ τῶν κατὰ προαίρεσιν:

Σκεπτέον δὲ πρῶτον προοιμιαζομένοις, ὅπως τὸ τοῖς τοιούτοις παρεμπῖπτον τῆς κολακείας ὕποπτον ἀποκρυψώμεθα. ἕξομεν δὲ τοῦτο, εἰ δείξωμεν ἀπὸ τοῦ προσήκοντος καὶ τῆς ἀληθείας εἰς τὸ γράφειν ἐπάγεσθαι. μηδ᾽ ἀπατῶντας λέγοντες τῷ φίλτρῳ, ἀλλ᾽ ὀφειλομένην ἀπονέμειν τοῖς τοιούτοις τὴν εὐφημίαν, ἅτε δὴ τὰ ἐκείνων οἷα τὰ ὄντα καὶ τοὺς λίαν δυσαρέστους εἰς ἐγκωμίων ὑπόθεσιν διεγεῖραι. καὶ τοῖς πολλοῖς, ἢ τοῖς σοφωτέροις ταῦτα δοκεῖν περὶ τῶν κατορθωμάτων ἐκείνων λέγοντες. πλὴν εἰ μή τις εἴη παντάπασιν ἀναίσθητος, ἢ λίαν ἀγνωμόνως ἔχοι. Ὑποσυνάψομεν εἰ μὲν ἐκ τῆς πρώτης τῶν ἀγαθῶν μερίδος, λέγοντες, ὅτι μεγάλα, ὅτι πλεῖστα πεποίηκεν, ὅτι ἀρετῇ ἰδίᾳ, καὶ ὅτι

οὐδείς,

πεποιημέναις, ἢ μή που διὰ συνήθειαν ἀπαρέσκειν τοῖς πολλοῖς φυλαξούμεθα: Ἐπὶ τέλους δὲ, πάντες ἔρρωσθαι ἔγραφον. πολλοὶ δὲ, καὶ εὐτυχεῖτε ἔλεγον, καὶ εὐτύχει. ὡς Δημοσθένης ἐν ταῖς πολλαῖς, καὶ Πλάτων. εἰσὶν οἳ καὶ τὸ χαίρειν ἐπὶ τέλους ἐχρῶντο:

Ὕλην δὲ παντοίαν ἔχουσα ἡ ἐπιστολὴ, καὶ οὐδενὶ λόγῳ περιειλημμένην, οὐδ᾽ ἁπλῆς εἰκότως καὶ ἀκριβοῦς τετύχηκε τῆς κατ᾽ ἐκείνην διαιρέσεως, ὅτι μὴ τῆς ἀπὸ τοῦ τέλους. καθ᾽ ὃ διαιρούμενοι, τρεῖς ἡμῖν ἀναφαίνονται τῶν ἐπιστολικῶν τύπων κοινότητες, τοῖς τρισὶ τῶν κατὰ Ῥήτορας λόγων ἰσάριθμοι γένεσιν. Ὅσαι γὰρ σκοπὸν πεποίηνται τὸ καλὸν, ἐπαινοῦσι μὲν ὃ ᾠκείωται τούτῳ, καὶ ψέγουσιν ὅσα ἀλλότρια, τοῦ Ἐπιδεικτικοῦ γένους εἰσί. ταύτης εἰσὶ τῆς φατρίας τύποι. ὁ Ἐγκωμιαστικός. Ἐπαινετικός. Ἐρωτικός. Εὐκτικός. Συγχαρητικός. Ψεκτικός. Τωθαστικός. Εἰρωνικός. καὶ ἄλλοι: Ὅσοι δὲ τοῦ δικαίου στοχαζόμενοι ὑπεραπολογοῦνται μὲν τῶν ἐξῃρημένων τούτου, φέρονται δὲ κατὰ τῶν ἀντικειμένων, οὐκ ἀπεικότως εἰς τὸ Δικανικὸν ἀνάγονται. τοιοῦτοι δέ εἰσι, Κατηγορικός. Ὀνειδιστικός. Ἀπειλητικός. Μεμπτικός. Ἐνστατικός. Ἀπολογητικός. Προφασιστικός. καὶ ἄλλοι: Τῷ Συμβουλευτικῷ δὲ προσάψεις γένει, τόν τ᾽ ἐξ αὐτοῦ τούτῳ Συμβουλευτικόν. Προτρεπτικόν. Παραμυθητικόν. Ἀποτρεπτικόν. Αἰτητικόν. Συστατικόν. καὶ ἄλλους. ὁ δὲ Ἀφηγηματικός, καὶ Ἐξαγγελτικός, διαφόρῳ λόγῳ καὶ τοῖς τρισὶ συγκαταλέγεται γένεσιν. εἰ μὲν γὰρ εἰς γνῶσιν ἀφορᾷ καὶ συμβουλὴν, τοῦ Συμβουλευτικοῦ ἐστιν ἴδιος. τῶν γὰρ παρεληλυθότων ἡ γνῶσις, ἐπὶ τὴν τῶν μελλόντων ποδηγετεῖ πρόνοιαν. εἰ δὲ διὰ μαρτυρίαν γίνεται, (ἔστι γὰρ ὅτε καὶ μαρτυρίαι γραφόμεναι πέμπονται) τοῦ Δικανικοῦ ἐστιν οἰκεῖος. ἡνίκα δὲ μοχθηρίαν τινὸς, ἢ ἀρετὴν διεξέρχεται, τότ᾽ αὐτὸ τέλος ποιούμενος, εἰς τὸ Ἐπιδεικτικὸν ἀνήκει:

διαθέσεις καὶ τὰ ἤθη, ὁποῖον δὲ τὸ ἀξιωματικὸν τὸ πρὸς ἀλλήλους, ἢ ὕψος, ἢ ὕφεσις. τούτοις γὰρ καταλλήλως, καὶ γνώμη, καὶ σχηματισμὸς, καὶ ἑρμηνεία, καὶ σαφήνεια, καὶ μῆκος ἐπιστολῆς, ὅσον ἐγχωρεῖ παρὰ τὴν ὕλην συναπαρτίζονται. διὸ καὶ πρὸς τὸ μεγαλοπρεπέστερον, καὶ δεινότερον ἡνίκα δέοι ἀποκλίνειν τὸν ἐπιστολικὸν χαρακτῆρα, οὐκ ἀπηγόρευται:

Συμβάλλεται δὲ τὸ τὰς σχέσεις εἰδέναι καὶ διαθέσεις, τοῦ τε ἐπιστέλλοντος, καὶ πρὸς ὃν ἡ ἐπιστολὴ, οὐ μετρίως, καὶ πρὸς τὰς ἀξιοχρέους τῶν ἀνδρῶν προσαγορεύσεις, εἴ τις ποικίλλειν βούλεται. ὅπερ ἤδη δεύτερον μέρος ἐστὶν, ὃ περὶ τὴν ἐπιστολὴν ἔφημεν, καὶ οὐκ οὐσιῶδες, εἰς ὃ ἀναφέρεται, ὅσα τε προλέγεται τῆς ἐπιστολῆς, καὶ ἐπιλέγεται:

Οἱ μὲν οὖν πάλαι γράφειν ἀρχόμενοι, χαίρειν τοὺς φίλους ἐκέλευον. καί τοι τοῦτο ἄλλως ἑωθινὸν ὂν τοῖς Ἕλλησι πρόσρημα. ἐν ἐπιστολῆς δ' ἀρχῇ πρῶτος κεχρῆσθαι λέγεται ὁ Ἀθηναίων δημαγωγὸς, καὶ μετ' ἐκεῖνον πολλοί. προτάττοντες τοῦτο μετὰ τὸ τοῦ γράφοντος ὄνομα, καὶ τοῦ πρὸς ὃν τὰ γράμματα ἐπέμπετο τοὔνομα, καὶ τὴν ἰδιάζουσαν προσηγορίαν ἐνίοτε. ὡς Ἰσοκράτης Φιλίππῳ Μακεδόνων Βασιλεῖ χαίρειν. καὶ Δημοσθένης τῇ Βουλῇ καὶ τῷ Δήμῳ χαίρειν: Πλάτων δὲ, τὸ μὲν χαίρειν ἀποδοκιμάζων, ἀντ' αὐτοῦ τὸ εὖ πράττειν εἰσῆγε. καὶ μετὰ Πλάτωνα συχνοί. ὡς Πλάτων Δίωνι εὖ πράττειν. καὶ Ἀριστοτέλης Ἀλεξάνδρῳ εὖ πράττειν: Πολὺ δὲ πρὸ τούτων, οἱ περὶ Πυθαγόραν ἀλλήλοις ἐπιστέλλοντες, τὸ ὑγιαίνειν προὔγραφον. τοῦτο κοινὸν κἀκεῖνοι ἡγούμενοι, ψυχῆς τε καὶ σώματος εὖ διακειμένων σύμβολον. ὡς τὸ εὖ πράττειν ὁ Πλάτων. Εἰσὶ δὲ, οἳ καὶ τὸ εὖ διάγειν προστάττουσιν, Ἐπικούρῳ προσνέμοντες εἰσηγητῇ. οὐ πάνυ μέν τοι ἐγκρίνεται.

Τούτων οὖν ἔξεστι τῷ δοκοῦντι χρήσασθαι ἐν ταῖς τῶν γραμμάτων ἀρχαῖς, τὸ χυδαῖον τῆς καθ' ἡμᾶς ἀδολεσχίας ἀπο-

τῶν ἐναντίων ἀνασκευάζοντας· οἷς ἅπασιν, ἡνίκα δέον, καὶ αὔξησιν ἐπιθείης, παραδείγμασιν, ἱστορίας χάριτι, παροιμιῶν ἀπαγγελίᾳ, μύθων ψυχαγωγίᾳ, φιλοσοφίας γνώμαις, καὶ σοφῶν ἀνδρῶν ἀποφθέγμασιν· ἅπερ ἅμα καὶ κάλλος οὐ τὸ τυχὸν τῷ λόγῳ χαρίζεται:

Τὰ δὲ τῆς ἑρμηνείας τὴν τῶν ἐπιστολῶν ἰδέαν (ὥς δοκεῖ Φιλοστράτῳ) ἀττικωτέραν μὲν συνηθείας φαίνεσθαι προσήκει, συνηθεστέραν δὲ ἀττικίσεως. τὸ γὰρ ὑπεραττικίζειν, καὶ πέρα μέτρου φιλοτεχνεῖν τὸ αἱμύλον, ἐν ἐπιστολῇ ὀχληρὸν καὶ μειρακιῶδες. τὸ δὲ ἀκόρητον καὶ ἐς τὸ παντελὲς ἀκαλλώπιστον, ἄχαρι καὶ ἡδονῆς ἐκτός: Δεῖ τοίνυν ἀμφοτέρων φεύγοντας τὴν ἀμετρίαν, τοῦ μέσου κατατυγχάνειν. καὶ ἥ φησιν ὁ Θεολόγος, σχηματίζοντας μέν, ἀλλ᾽ οὐκ ἀπρυθριακῶς. ἐπιρρυθμίζοντας δὲ καὶ κοσμοῦντας, τῷ ἀκοσμήτῳ δοκοῦντι, καὶ ὅτι ἐγγυτάτω τοῦ κατὰ φύσιν: Σαφήνεια δ᾽ ἦ δ᾽ ὅς ὁ Φιλόστρατος, ἀγαθὴ μὲν ἡγεμὼν παντὸς λόγου, μάλιστα δ᾽ ἐπιστολῆς. ἡ γὰρ ἀσάφεια, οὐχ ὅπως ἀνιᾷ τὸν ἀκροώμενον, ἀλλὰ δὴ καὶ τὸν γράφοντα ἐκπίπτειν παρασκευάζει τοῦ πρέποντος ἐπιστολῇ χαρακτῆρος· σαφῶς δ᾽ ἑρμηνεύσομεν, καὶ ἔξω ἀτελείας, ἣν τῶν νοηθέντων, τὰ μὲν κοινὰ καινῶς, τὰ δὲ καινὰ κοινῶς, φράζωμεν. τῇ δὲ σαφηνείᾳ τοὐπίτομον συμπεπλέχθαι, καὶ συνάζεσθαι τὰ συναμφότερα μέσως. ὡς μήτε διὰ τὴν σαφήνειαν ὑφίεσθαί τε καὶ διαλύεσθαι. μήτε διὰ τὴν συντομίαν ὑπερσφίγγεσθαι καὶ ἐς τὸ γριφῶδες μεταπίπτειν. ὅλως δὲ μήκους ἐπιστολῆς μέτρον, ἔστω ἡ χρεία· οὔτε γὰρ μακρολογητέον, ἔνθα τὰ πράγματα μὴ πολλά. καὶ μηκύνειν δέον, ἔνθα πολλά. ἀλλὰ μετὰ κόσμου. τὸ μὲν οὖν ὅλον εἰπεῖν, τοιούτῳ δὴ χαίρει ἡ ἐπιστολὴ χαρακτῆρι, ἐξ ἰσχύος τε καὶ γλαφυροῦ συγκεκραμένῳ: Πάντα δὲ ταῦτα ὡς ἄριστα διαθείης, εἰ συνορᾷν ἱκανῶς ἔχῃς, ὅς τίς ποτ᾽ εἴη ὁ ἐπιστέλλων, καὶ πρὸς τίνα, καὶ τίνας ἀμφοτέρωθεν τῶν ψυχῶν αἱ

ἴσως δ' οὐδ' ἀσύμφορα ἐκθέσθαι πειράσομαι. Παντοδαπῶν μέντοι ὄντων, καὶ συμμίκτων τῶν ἐπιστολικῶν τύπων, οὐ περὶ πάντων ἡμῖν ἁπλῶς ἡ διάληψις ἔσται. τοῦτο γὰρ καὶ χρόνου δεόμενον μακροτέρου, καὶ ἀνιάσων μᾶλλον τῷ μήκει, ἢ συνοῖσον ὑμῖν εὖ οἶδα. ἀλλὰ τοὺς χρησιμωτέρους καὶ συνεκτικωτέρους, ὥσπερ κανόνας τινὰς ἐκθησόμεθα. καὶ τούτων ἕκαστον, ἐφ' ἕν τι τῶν περὶ τὴν Ῥητορικὴν γενῶν ἀνοίσομεν.

Τὴν ἐπιστολὴν (ἥ τις καὶ γράμμα καὶ γράμματα λέγεται. ὑποκοριζομένῳ δὲ, καὶ γραμμάτιον καὶ γραμματίδιον. ἔστι τε ὅπου τῶν ἐπῶν, καὶ πίνακα πτυκτὸν Ὅμηρος εἴρηκεν) ἀπὸ τοῦ ἐπιστέλλω παρῆχθαι πρόδηλον. οὐδὲν γὰρ οὕτως αὐτῇ ἴδιον, ὡς τὸ ἐπιστέλλεσθαι καὶ μηνύειν τὰ τῆς ψυχῆς τοῦ ἐπιστέλλοντος πάθη τε καὶ βουλήματα. διὸ καὶ εἰκόνα ψυχῆς τινὲς τὴν πρὸ ἡμῶν ταύτην προσαγορεύουσι οὐκ ὀκνοῦσι. Ἔστι δ' ὡς ἐν γένει εἰπεῖν ἡ ἐπιστολὴ, ἀπόντος πρὸς ἀπόντα διάλεξις. εἰ γὰρ καὶ πρὸς παρόντας ἔστιν ὅτε γράμμασι διαλεγόμεθα, ὡς πρὸς ἀπόντας μέν τοι τοῦτο ἡμῖν τεχνητεύεται. Ταύτης ἡ θεωρία, πολυποίκιλός τις ἐστὶν, οἷά τε δὴ πᾶσιν ὡς εἰπεῖν ἀνθρωπίνοις ἐφαρμόσουσα πράγμασι: Διέλοι δ' ἔμπης αὐτὴν σαφηνείας θηρατὴς ξυγγραφεὺς, εἰς δύο τὸ πρῶτον. τὸ μὲν γὰρ αὐτῆς ἐστὶν οἷον ὕλη, τὸ δὲ οἷον εἶδος καὶ μορφή. Τοῦτο δ' ἂν τὸ ὡς εἶδος μέρος δίχα τεμὼν, οὐκ ἂν ἁμάρτοις. ὥσπερ γὰρ ἐστὶν, οἷον οὐσιῶδες καὶ συστατικὸν τῆς ἐπιστολῆς. τὸ δ' οἷον παρεπόμενόν τε καὶ περὶ ἐκεῖνο. Τὸ μὲν οὖν οὐσιῶδες μέρος τοῖς αὐτοῖς φιλοτεχνεῖται τάξει τε καὶ μορίοις, οἷς καὶ ὁ κατὰ Ῥήτορας λόγος, πλὴν ὅτι τὴν κατ' ἐκείνους ἀκρίβειαν παραιτεῖται:

Προοιμιάσασθαι γὰρ δεῖ καὶ ἐν ἐπιστολῇ, καὶ διηγήσασθαι μετὰ τὸ προοίμιον, ἢ προθεῖναι τὸ περὶ οὗ ὁ λόγος. καὶ τούτοις τὰς ἀποδείξεις ἐπαγαγεῖν, κατασκευάζοντας τὸ οἰκεῖον, ἢ τὰ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΤΟΥ ΚΟΡΥΔΑΛΕΩΣ.

Τοῦ ὕστερον διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος, Θεοδοσίου μετονομασθέντος. Ἔκθεσις περὶ ἐπιστολικῶν τύπων.

BIBLIOTECA N. ROMA VITTORIO EMANUELE

Προοίμιον.

Τῆς Ἐπιστολῆς ἡδὺ μὲν τὸ δημοτικὸν, ἐπιχάρι δὲ τὸ κομψὸν ἐν ἁπλότητι. καί που τὸ χρεῶδες ἀνάγκης ἀρχίθυρον. τὸ δὲ τῆς ὑπουργίας, σοφιζομένῳ μὲν, οὐδὲν ἔπος θεῶν ἐς ἀνθρώπους δῶρον. βασανίζοντι δὲ ποικιλίας ἐκτὸς τἀληθὲς, κρεῖττον, ἢ ὅσα πτερὸν ὄρνισι. φοιτῶσι γὰρ ἑκασταχόσε διὰ τῶν ἐπιστολῶν, καὶ ἠρεμοῦντες οἱ ἄνθρωποι. καὶ φράττειν αὐτοῖς ἔνι διὰ τούτων καὶ διαλέγεσθαι, οἷα πτερὸν ὑπηρετεῖν οὐκ ἐνδέχεται ὄρνιθι. Ἀλλά πως ὁ περὶ τούτων λόγος τὰ νῦν κατημελεῖσθαι δοκεῖ, ὑπὸ τοῦ διεφθάρθαι τῷ χρόνῳ τὰ τῶν ἀρχαιοτέρων περὶ τούτων συγγράμματα. ὅσα δὲ καὶ σώζεται μέχρι τοῦ νῦν, παρ' ἐκείνοις κομιδῇ ἐν παρόδῳ εἰρῆσθαι δοκεῖ. καὶ τὸ λίαν ἐπίτομον, ἀσύμφορον τοῖς νεωτέροις καθίστησιν. Ἐγὼ γοῦν πλείονα μὲν ἐκείνων,

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ, ΤΟΥ ΚΟΡΥΔΑΛΕΩΣ. ΠΕΡΙ ΕΠΙΣΤΟΛΙΚΩΝ τύπων:

BIBLIOTECA NAZ.
ROMA
VITTORIO EMANUELE

LONDINI
Ex Officina *G. S.* Typographi.

cIↃ IↃ c xxv.

Z. XI. 64.

6
9
3

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE
6
8 MF
13

6-9, C, 3

Lettere [illegible]